ἔπεσι τοῖς πρὸς χάριν καὶ ἀπὸ κολακείας. ἀπὸ δὲ τῶν λοχώντων περὶ τὸς βωμὸς καὶ βυλομένων τι λαβεῖν μετήνεκται ἡ λέξις· ὅτοι γὰρ ἐπὶ τῶν βωμῶν πολλὰ ἐλιπάρουν κολακεύοντες λαβεῖν τι τῶν θυόντων (sch. A Ran. 360). Ἀγαθίας (1 13) "ὁ γὰρ σύνηθες ἔμοιγε, ὁ Ναρσῆς ἔφη, βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν ἐγκαλλωπίζεσθαι." καὶ περὶ Ἰσιδώρυ Δαμάσκιος "ὃ δὲ ἐπίχαρις ἦν, εὐτραπελίας μὲν καὶ βωμολοχίας ὅτι πορρωτάτω."

βωμοί. οὕτως λέγονται αἱ βάσεις, στιβάδες.

βωμόν ϛαπίδα (an ϛιβάδα) Λάκωνες.

βωμός τέμενος, καὶ τόπος ἀνάβασιν ἔχων πρὸς τὸ λέγειν ἐπήκοα· ἐφ' ὃν Κράτης ἀναβάς "Κράτης ἀπολύει τὰ Κράτητος" εἴρηκε. καὶ Ἀριϛοφάνης (Pac. 933) "ὁ γὰρ βωμὸς θύρασι καὶ δή" ἀντὶ τοῦ ἐξ ἑτοίμυ ἐϛὶ παρεσκευασμένος.

βῶν ἀσπίδα Ἀργεῖοι, ἀντὶ τῦ βῶν, ἤτοι βύρσαν.

Βῶνος ϛρατηγὸς τῆς Μυσίας τῆς παρὰ τῷ Ἴϛρῳ ποταμῷ παρατεταμένης, ἀνὴρ συνέσεως ἐς ἄκρον ἥκων καὶ λίαν ἀγαθὸς τά τε πολιτικὰ καὶ πολέμια. ἦν ἐπὶ Ἰυϛινιανῦ. cf. Agath. 1 19.

βώνυσοι ἄποικοι, βυκόλοι.

βῶξ.

βῶροι ὀφθαλμοί.

Βῶρος ὄνομα κύριον (Hom. *Ε* 44, *Π* 177).

βῶς βύρσα, ἀσπίς.

βωσόμεθα καλέσομεν, μαρτυρόμεθα.

βῶσον βόησον. Κρατῖνος.

βωϛρεῖν καλεῖν, βοᾶν· Ἀριϛοφάνης (Lys. 686) "ποιήσω τὸς δημότας βωϛρεῖν σ' ἐγὼ πεκτούμενον."

Βωτεῖν ἀροῦν. Λάκωνες.

βωτιάνειρα (Hom. *Α* 155) ἡ βόσκουσα τοὺς ἄνδρας.

Βώτιον τόπος.

βώτορες βοτῆρες, νομεῖς. ἐν ἐπιγράμματι (AP 6 262) "τὸν νομίην καὶ ἔπαυλα βοῶν καὶ βώτορας ἄνδρας σινόμενον, κλαγγάν τ' οὐχὶ τρέσαντα κυνῶν πέφνε, καὶ ἐκ ταύτης ἐκρέμασεν πίτυος."

Βώχανος ὄνομα κύριον. ἦν δὲ Τύρκων ἀρχηγός, ὃς ἐπὶ Ἰουϛινιανοῦ τὸν Βόσπορον ἐπόρθησε. ζήτει ἐν τῷ Βόσπορος.

Γαβαώ πόλις, καὶ Γαβαωνῖται οἱ ἀπὸ τῆς χώρας.

Γαβίνιος ὄνομα κύριον Ῥωμαϊκόν.

Γαβριήλ ὄνομα κύριον. καὶ Γαβριηλᾶς ὄνομα κύριον.

Γάγγης βασιλεὺς Αἰθιόπων, ὃν ἀπέκτεινεν Ἀλέξανδρος, δεκάπηχυς τὸ μῆκος, τὴν δὲ ὥραν οἷος οὔπω τις ἀνθρώπων, ποταμῦ δὲ Γάγγου παῖς. τὸν δὲ πατέρα τὸν ἑαυτοῦ τὴν Ἰνδικὴν ἐπικλύζοντα αὐτὸς ἐς τὴν Ἐρυθρὰν ἔτρεψε, καὶ διήλλαξεν αὐτὸν τῇ γῇ· ὅθεν ἡ γῆ ζῶντι μὲν ἄφθονα ἔφερεν, ἀποθανόντι δὲ ἐτιμώρει. ἐπεὶ δὲ τὸν Ἀχιλλέα Ὅμηρος ἄγει μὲν ὑπὲρ Ἑλένης ἐς Τροίαν, φησὶ δὲ αὐτὸν ιβ' μὲν πόλεις ἐκ θαλάττης ᾑρηκέναι πεζῇ δὲ ια', γυναῖκα δὲ ὑπὸ τοῦ βασιλέως ἀφαιρεθέντα εἰς μῆνιν ἀπενεχθῆναι, ὅτε δὴ ἀτεράμονα καὶ ὠμὸν δόξαι, σκεψώμεθα τὸν Ἰνδὸν πρὸς ταῦτα. πόλεων μὲν τοίνυν ξ' οἰκιϛὴς ἐγένετο, αἵπερ εἰσὶ δοκιμώταται τῶν τῇδε· τὸ δὲ πορθεῖν πόλεις ὅϛις εὐκλεέϛερον ἡγεῖται τοῦ ἀνοικίζειν πόλιν, ὀκ ἔϛιν. Σκύθας δὲ τὸς ὑπὲρ Καύκασον ϛρατεύσαντάς ποτε ἐπὶ τήνδε τὴν γῆν ἀπώσατο· τὸ δὲ ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει. Philostrat. V. A. 3 20.

Γάγγρα πόλις.

γάγγραινα εἶδος πάθους.

Γαδαρηνός ἀπὸ τόπου.

Γάδειρα τόπος κατὰ τὴν ἑσπερίαν μοῖραν, ἀποτελεύτησις τῆς θαλάσσης, καὶ οἷον ἐκροὴ ἀπὸ τῆς πρὸς ἡμᾶς εἰς τὴν Ἀτλαντίδα θάλασσαν, τὸν ὠκεανόν, ἣν διεκπλεῦσαι ὀκ ἐνῆν βραχώδη καὶ σκοτοειδῆ τυγχάνουσαν. Γάδειρα δὲ παρὰ τὴν γῆν καὶ τὴν δειρήν, ὃ ἐϛι τράχηλος. μέχρι τύτων ἐλθὼν ὁ Ἡρακλῆς, καὶ μὴ δυνάμενος διελθεῖν, ϛήλας παρὰ τῶν ἐγχωρίων λαβὼν ἱδρύσατο, δηλῶν δι' αὐτῶν ἄχρι τῶν τῇδε βατὴν εἶναι τὴν γῆν καὶ τὴν θάλασσαν. sch. Gregor. Naz.

γάζα. καὶ γαζοφυλάκιον θησαυροφυλάκιον· γάζα γὰρ θησαυρός. "πολλὴν δὲ εὗρεν ἀφθονίαν τροφῆς καὶ γάζαν βαρβαρικήν, ἀργυρίου δὲ τάλαντα γ'." "ὁ δὲ Πτολεμαῖος τὰ βασίλεια περιάγων ἐπεδείκνυτο καὶ τὴν ἄλλην τὴν βασιλικὴν γάζαν" Διόδωρός φησι (t. 2 p. 629).

γαῖα χάνοι (Hom. *Ζ* 282) καταπίοι αὐτὸν ἡ γῆ.

Γαϊανός Ἀράβιος σοφιϛής, μαθητὴς Ἀψίνου τοῦ Γαδαρέως· ἦν δὲ ἐπί τε Μαξι-

*μίνου καὶ Γορδιανοῦ. περὶ συντάξεως βιβλία ε, τέχνην ῥητορικήν, μελέτας. ἐσοφίστευσεν ἐν Βηρυτῷ.*

***Γαίειος*** *ὄνομα κύριον.*

***γαιήιος*** (Hom. η 324) *ὁ γήινος, ὁ τῆς γῆς υἱός.*

***γαιήοχος*** *ὁ Ποσειδῶν.*

***γαιοδότης*** *ὁ ἀπεμπολῶν γῆν.*

***Γάιος*** *Ῥωμαίων βασιλεὺς τὸ μὲν πρῶτον μεγαλοφρόνως διεῖπε τῆς βασιλείας τὰ πράγματα καὶ πᾶσι τοῖς ὑπηκόοις καθηκόντως ἐχρῆτο, μετὰ δὲ δύο χρόνους ἐκστὰς τῆς ἀνθρωπίνης φύσεως κατὰ μίμησιν τοῦ πατρὸς ἑαυτὸν ἀπεθέωσε, καὶ ἀνδριάντα ἑαυτοῦ κατὰ πόλιν ἐν τοῖς ναοῖς ἀπέστειλε καθιδρύσασθαι, καὶ εἰς τὸν τῶν Ἱεροσολύμων ναὸν θεσπίσας νέου Γαΐου ἱερὸν προσέταξεν ὀνομάζεσθαι. καὶ δουλοκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴ τι συνειδεῖεν αὐτοῖς πλημμέλημα· κἀντεῦθεν δεινὴ συμφορὰ κατειλήφει τὴν οἰκουμένην πᾶσαν, τῶν οἰκετῶν μεγάλαις τιμωρίαις ὑποβαλλόντων τοὺς δεσπότας· ἕκαστος γὰρ ἀμύνεσθαι ἐβούλετο τὸν ἴδιον δεσπότην ὑπὲρ ὧν παρ' αὐτοῦ βασάνων προέπασχεν. ὁ μὴν δὲ ἀλλὰ καὶ εἰς μανίαν τραπεὶς ἄθεσμον στολὰς γυναικείας ἠμφιέννυτο, καὶ τὴν κόμην πλοκάμοις καὶ πλοκῇ τινὶ περιστέλλων, καὶ γυναικιζόμενος καὶ πᾶσαν αἰσχρουργίαν διαπραττόμενος, τελετὰς ἐπενόει καὶ ξένα μυστήρια ἐπετέλει. καὶ δὴ λαβών ποτε τὴν ἰδίαν θυγατέρα, καὶ ἐς τοὺς κόλπους τοῦ ἀγάλματος θέμενος αὐτήν, ἔφη "σὺ ταύτην γεγέννηκας, καὶ πατὴρ αὐτῆς ἔννομος ὑπάρχεις."*

*οὗτος μιαρώτατός τε καὶ ἀνοσιώτατος ἐγένετο, καὶ τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἐπεκάλυψε τὰ τοῦ Τιβερίου μειονεκτήματα. ὅσα γὰρ τῷ Αὐγούστῳ ἐν πολλῷ χρόνῳ περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπεκτήσατο. μοιχικώτατός τε ἀνθρώπων γενόμενος, καὶ γυναῖκας ἡρμοσμένας καὶ γεγαμημένας ἐλάμβανε. τήν τε ἑαυτοῦ τιθήνην* (an *τήθην*) *ἐπιτιμήσας ἀνοίας ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέστησεν. ἐχρῆτο δὲ καὶ ταῖς ἀδελφαῖς καὶ παρανόμων ἐκοινώνει μίξεων, ὡς καὶ πατὴρ ἀνοσίας καταστῆναι γονῆς ἐκ μιᾶς αὐτῷ τῶν ἀδελφῶν ἀπογεννηθείσης. ναούς τε καὶ θυσίας ὡς ἡμιθέῳ γίνεσθαι παρεσκεύαζε. τοιούτῳ αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν, ὥστε τὰ τοῦ Τιβερίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, τοσοῦτον τὰ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκείνῳ παρήνεγκαν.* Io. Antioch. exc. Peir. p. 802.

*οὗτος μετὰ Τιβέριον ἐβασίλευσε Καλλιγόλας ὀνομαζόμενος.*

***Γάιος Ἰούλιος Καῖσαρ*** *ὁ πρῶτος μοναρχήσας. οὗτος ἔγραψε μετάφρασιν τῶν Ἀράτου φαινομένων, καὶ τέχνην γραμματικὴν ῥωμαϊκῶς, καὶ περὶ τοῦ ἰδίου βίου.*

***Γάιος Καῖσαρ,*** *ὃς ἐπεκλήθη Καλλιγόλας, ῥητορικὴν τέχνην ῥωμαϊκῶς.*

***Γάιος Λαιτώριος,*** *Μέργος ἐπίκλησιν. ἐκ τούτου δείκνυται τὸ μισοπόνηρον τῶν Ῥωμαίων καὶ τὸ πρὸς τοὺς παραβαίνοντας τὰ κοινὰ καὶ νόμιμα τῆς ἀνθρωπίνης φύσεως ἀμείλικτον. οὗτος γὰρ χιλίαρχος ἀποδειχθεὶς ἐν τῷ Σαυνιτικῷ πολέμῳ νεανίαν τινὰ τῶν ὁμοσκήνων, διαφέροντα τὴν ὄψιν ἑτέρων, μέχρι μέν τινος ἔπειθεν ἑαυτῷ χαρίσασθαι τὴν τοῦ σώματος ὥραν ἑκόντα, ὡς δ' οὔτε δωρεαῖς οὔτ' ἄλλῃ φιλανθρωπίᾳ τὸ μειράκιον ἡλίσκετο, κατέχειν τὴν ἐπιθυμίαν ἀδύνατος ὢν βίαν προσφέρειν ἐπεβάλετο. περιβοήτου δὲ τῆς ἀκοσμίας τοῦ ἀνδρὸς ἅπασι τοῖς ἐπὶ στρατοπέδου γενομένης, κοινὸν ἀδίκημα τῆς πόλεως εἶναι νομίσαντες οἱ δήμαρχοι γραφὴν ἀποφέρουσι κατ' αὐτοῦ δημοσίᾳ, καὶ ὁ δῆμος ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω, τίμημα δίκης ὁρίσας θάνατον, οὐκ ἀξιῶν εἰς ἐλεύθερα σώματα καὶ προπολεμοῦντα τῆς τῶν ἄλλων ἐλευθερίας τοὺς ἐν ταῖς ἄλλαις ὄντας ἀρχαῖς ὑβρίζειν τὰς ἀνηκέστους καὶ παρὰ φύσιν τοῖς ἄρρεσιν ὕβρεις. ἄλλο θαυμασιώτερον, καίτοι περὶ δοῦλον σῶμα γενομένης τῆς ὕβρεως. ἑνὸς γὰρ τῶν παραδόντων Σαυνίταις τὸ στρατόπεδον χιλιάρχων καὶ ὑπὸ ζυγὸν ὑπελθόντων Ποπλίου υἱὸς ὤν, ἐν πολλῇ καταλειφθεὶς πενίᾳ, δάνειον ἠναγκάσθη λαβεῖν ὡς ἐρανισθησόμενος ὑπὸ τῶν συγγενῶν, διαψευσθεὶς δὲ τῆς ἐλπίδος ἀπήχθη πρὸς τὸ χρέος τῆς προθεσμίας διελθούσης, κομιδῇ νέος ὢν καὶ τῇ ὄψει ὡραῖος. οὗτος τὰ μὲν ἄλλα ὑπηρετῶν, ὅσα δούλους δεσπόταις νόμος ἦν, ἠνείχετο, τὴν δὲ τοῦ σώματος ὥραν χαρίσασθαι κελευόμενος ἠγανάκτει καὶ μέχρι παντὸς ἀπεμάχετο. πολλὰς δὲ διὰ τοῦτο μαστίγων λαβὼν πληγὰς ἐξέδραμεν ἐς τὴν ἀγοράν, καὶ στὰς ἐπὶ μετεώρου τινὸς τήν τε ἀκολασίαν τοῦ δανειστοῦ διηγήσατο*

καὶ τῶν μαςίγων τοὺς μώλωπας ὑπέδειξεν. ἀγανακτήσαντος δὲ τοῦ δήμȣ καὶ δημοσίας ὀργῆς ἄξιον ἡγησαμένου τὸ πρᾶγμα, κατηγορούντων τὴν εἰσαγγελίαν τῶν δημάρχων ὦφλε θανάτου δίκην. καὶ δι' ἐκεῖνο τὸ πάθος ἅπαντες οἱ δουλωθέντες πρὸς τὰ χρέα Ῥωμαῖοι νόμῳ κυρωθέντι τὴν ἀρχαίαν ἐλευθερίαν ἐκομίσαντο. Dionys. Hal. Exc. Peir. p. 537.

γαιοῦχος ὁ τὴν γῆν ὀχῶν.

γαῖσα, καὶ γαισός κοντός, εἶδος ἀμυντηρίου, οἷον δόρατος.

Γαιών ὄνομα ποταμοῦ. Γαιὼν καὶ Φεισὼν ὀνόματα ποταμῶν. Genes. 2 11.

γαλαθηνός ὁ ὑποτίτθιος ἤγουν ὁ ὑπομάζιος.

Γαλακτίων ὄνομα κύριον.

γαλακτοπότης ὁ γάλα πίνων.

γαλαξίας τὸ ἐν τῷ οὐρανῷ φῶς, ὅπερ ἐςὶν ἀντανάκλασις φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἀςέρων. Diog. L. 2 9.

γάλα ὀρνίθων, ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. ἢ ἐπὶ τῶν σπανίων· τὰ σπάνια γάρ, φησί ⟨A Av. 734⟩, καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν· "ὥςε παρέςαι κοπιᾶν ὑμῖν ὑπὸ τῶν ἀγαθῶν." τȣτέςιν ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι μέλλετε. "οὕτω πλȣτήσετε πάντες."

Γαλάται. ὅτι ἐπὶ Σκιπίωνος τοῦ Ῥωμαίων ςρατηγοῦ καὶ Ἀννίβου τοῦ Καρχηδονίου Ῥωμαῖοι Γαλάτας τȣ̀ς ἐν τῇ Ἀσίᾳ κατεςρέψαντο. οὗτοι δ' ἦσαν τῶν ἑσπερίων Γαλατῶν μοῖρα. ἀναςάντες γάρ ποτε τῆς οἰκείας οἱ Γαλάται ἅμα Βρέννῳ ςρατηγῷ προῆλθον εἰς λ' μυριάδας ἀριθμȣ́μενοι. ἐντεῦθεν διακριθέντες οἳ μὲν ἐπὶ τὴν εἴσω Πυλῶν Ἑλλάδα, οἳ δὲ ἐπὶ Θρᾴκην καὶ τὴν Ἀσίαν ἐτράποντο, ἀμφὶ τὰς δύο μάλιςά που μυριάδας καὶ αὐτοὶ ὄντες. καὶ κρατήσαντες τῷ πολέμῳ πάντων μικροῦ τῶν ἐπὶ τάδε τοῦ Ταύρου Ἀσιανῶν γενῶν τοὺς μὲν ἄλλους ὑποτελεῖς ἐποιήσαντο φόρȣ, αὐτοὶ δὲ τὰ περὶ τὸν Ἅλυν ποταμὸν χωρία κατασχόντες ἐνέμοντο τὰ μεταξὺ Βιθυνῶν τε καὶ Καππαδοκῶν κείμενα. ἐφ' οὓς ἐςρατεύσαντο Ῥωμαῖοι κοινωνήσαντας Ἀντιόχῳ τῆς ἐπὶ τῷ Σιπύλῳ μάχης, καὶ συμπεσόντες αὐτοῖς περὶ πόλιν Ἄγκυραν, Μαλλίου σφῶν ἡγουμένου, μυρίους μὲν τῆς μαχίμου ἡλικίας καταβάλλουσι, τοὺς δὲ λοιπȣ̀ς ὑποκῦψαί σφισιν, ἀποςάντας ὧν ἦρχον ἐθνῶν, κατηνάγκασαν.

Γαλάτεια ὄνομα θεᾶς, Γαλατία δὲ χώρα. καὶ Γαλατίας ὄνομα κύριον.

γαλέα ὁ ἰχθῦς. καὶ γαλεός ὁμοίως.

γαλεάγρα ὄργανον τιμωρητικόν. "καὶ τελευτῶντες εἰς γαλεάγραν ἐμβαλόντες περόναις σιδηραῖς διειργμένην πᾶσαν, ἐν δυσχωρίαις ἐκύλιον." καὶ αὖθις "ὃ δὲ ἐν γαλεάγρᾳ σιδηρᾷ βαλὼν ἀπέκτεινεν."

γαλερόν φαιδρόν.

Γαλεώτης ὄνομα κύριον.

γαλεώτης καὶ ἀσκαλαβώτης, ἑκατέρως. ἐν τῷ ἀσκαλαβώτης.

γαλῆ τὸ ζῷον. καλεῖται δὲ πρός τινων κερδὼ καὶ ἱλαρία. ἔςι δὲ ὄνομα ἰσόψηφον δίκη καὶ γαλῆ· ἀπὸ γὰρ τῶν αὐτῶν σύγκειται γραμμάτων ⟨Artemid. 3 28⟩. καὶ γαλῆ Ταρτησσία· ἡ Ταρτησσὸς πόλις ἔξω τῶν Ἡρακλείων ςηλῶν πρὸς τῷ ὠκεανῷ, ἔνθα μέγιςαι γίνονται γαλαῖ.

γαληνιᾶν γάννυσθαι, χαίρειν, διαχεῖσθαι.

Γαληνός ὁ διασημότατος ἰατρός, Περγαμηνός, γεγονὼς ἐπὶ Μάρκου καὶ Κομόδȣ καὶ Περτίνακος τῶν Καισάρων ἐν Ῥώμῃ, υἱὸς Νίκωνος γεωμέτρου καὶ ἀρχιτέκτονος, πολλὰ συντεταχὼς ἰατρικά τε καὶ φιλόσοφα, ἔτι τε γραμματικὰ καὶ ῥητορικά, ἅτινα διὰ τὸ πᾶσιν εἶναι γνώριμα καταλέγειν ἄκαιρον ἡγησάμην ἐν τῷ παρόντι. ἐβίω ἔτη ό. σημαίνει δὲ καὶ τὸν ἡσύχιον.

γαληνῶ ἢ γαληνιῶ.

Γαλήσιον ὄνομα τόπου.

γαλῆ χιτών. αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων. ὁμοία ἐςὶ τῇ "ȣ̓ πρέπει γαλῇ κροκωτός."

Γαληψός ὄνομα κύριον. ἔςι δὲ πόλις τῆς Θρᾴκης. ὠνομάσθη δὲ ἀπὸ Γαληψȣ̃ τȣ̃ ἐκ Θάσου καὶ Τηλέφης. Harp.

Γαλλαίῳ τῷ τῶν Γάλλων· ⟨AP 6 173⟩ "Γαλλαίῳ Κυβέλης ὀλολύγματι πολλάκι θῦσα τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ ςομάτων, τάσδε θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείᾳ, θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα."

Γαλλογραικία ἡ τῶν Βουκελλαρίων χώρα. οἱ αὐτοὶ καὶ Ἑλληνογαλάται ὀνομάζονται.

γάλλος ἀπόκοπος· ἐν ἐπιγράμματι ⟨AP 6 234⟩ "γάλλος ὁ χαιτήεις ὁ νεήτομος, ὅς

ποτε Τμώλῳ Λύδιος ὀρχηςὰς μάκρ' ὀλολυζόμενος." καὶ γάλλοι οἱ ἀπόκοποι. (? Polyb. 22 20) "Γναῖος ὁ ὕπατος Ῥωμαίων διερχόμενος ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν τελέως κοῖλον ὄντα καὶ δύσβατον· καὶ παρ' αὐτὸν τὸν ποταμὸν ςρατοπεδευσάμενος, παραγίνονται γάλλοι παρὰ Ἄττιδος καὶ Βαττάκου τῶν ἐκ Πεσσινοῦντος ἱερέων τῆς μητρὸς τῶν θεῶν, ἔχοντες προςηθίδια καὶ τύπους, φάσκοντες προσαγγέλλειν τὴν θεὸν νίκην καὶ κράτος. οὓς ὁ Γναῖος φιλανθρώπως ὑπεδέξατο." καὶ αὖθις "ἀπέςειλε νεανίσκους διασκευάσας εἰς γάλλους, μετ' αὐλητῶν ἐν γυναικείαις ςολαῖς ἔχοντας τύμπανα καὶ τύπους, ἐπὶ τοὺς προκαθημένους τῆς χώρας." "ὅτι γάλλοι μὲν γίνονται ἐξ ἀνδρῶν, ἐκ δὲ γάλλων ἄνδρες ὀ γίνονται" (Diog. L. 4 43).

Γάλλος ὄνομα ποταμοῦ.

γαλόῳ (Hom. Γ 122). γάλως γάλῳ, καὶ πλεονασμῷ τοῦ ο γαλόῳ, ἀνδραδέλφῳ. καὶ γαλοώνη ὁμοίως ἡ ἀνδράδελφος.

γάμβορος ὁ ἀμέτοχος

γάμβρειος ςολή.

γαμβρὸς Ἐρεχθῆος ὁ Βορρᾶς· τὴν γὰρ Ὠρείθυιαν θυγατέρα αὐτοῦ ἔγημεν, ἐξ ἧς τίκτεται Ζήτης καὶ Κάλαϊς.

γαμέτης ὁ ἀνήρ, ὁ σύζυγος· "ἣ δὲ σὺν τῷ κουριδίῳ γαμέτῃ ἐς Ἔφεσον ἦλθεν."

γαμηλία ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις. ἢ τῶν γυναικῶν ἡ εἰς τὰς φράτορας εἰσαγωγή. οὕτως Δίδυμος ὁ γραμματικός. καὶ παροιμία "γαμηλίαν εἰσενεγκεῖν." ὅταν τις ἠγάγετο γυναῖκα, πρὶν γενέσθαι παῖδα, οὗτος μαρτυρόμενος περὶ τοῦ γάμου κατὰ τοὺς γάμους ἀπεδίδου τι τοῖς φράτορσιν εἰς λόγον εὐωχίας, καὶ τοῦτό ἐςι γαμηλίαν εἰσενεγκεῖν. μέμνηται τοῦ λόγȣ Δημοσθένης ἐν τῷ πρὸς Εὐβουλίδην λόγῳ (69)· "καὶ γὰρ ὅτι ὁ πατήρ μου κατὰ τοὺς νόμους ἔγημε καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσενήνοχε μεμαρτύρηται."

γαμηλιῶνος τοῦ μηνός.

γαμησείειν Ἀττικοί φασι.

γαμφηλή ἡ σιαγών.

γαμψὸν ἐπικαμπές· "καὶ γαμψὸν χαίτησιν ἐφ' ἱππείῃσι πεδηθὲν ἄγκιςρον, κρυφίην εἰναλίοισι πάγην" ἐν ἐπιγράμματι (AP 6 192). "γαμψόν τε δρέπανον, ςαχυητόμον ὅπλον ἀρούρης" (AP 6 95). καὶ αὖθις (AP 6 104) "γαμψὰς πυρολόγους δρεπάνας."

γαμψοὺς τὰς καμπτούσας καὶ πλαγίȣς νεφέλας, ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας· γαμψοὺς γὰρ ἐκάλουν τὰς ὄρνιθας. Ἀριςοφάνης Νεφέλαις (336).

γαμψωλή ἡ ἐπίκαμψις.

γαμψώνυχος ἐπικαμπεῖς ἔχοντος τοὺς ὄνυχας. καὶ γαμψώνυχα ζῷα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷός ἐςιν ἀετὸς ἱέραξ κεγχρηὶς ἄλλα τε τὰ μὴ πίνοντα. cf. Aelian. N. A. 11 37.

Γάνδειρον ὄνομα τόπου.

γαννυμένη χαίρουσα· γάννυμαι γὰρ ὁ ἐνεςώς. καὶ γάννυσθαι φαιδρύνεσθαι, χαίρειν καὶ διαχεῖσθαι.

γάνος ὁ οἶνος· (AP 6 158) "Πὰν ἀγέλην, νύμφαι πίδακα, Βάκχε γάνος." καὶ (A Ran. 1327) "γάνος ἀμπέλου" ὁ οἶνος "βότρυος ἕλικα παυσίπονον." Γάνος δὲ θηλυκῶς τὸ πρὸς τῇ Θρᾴκῃ ὄρος, ἡ Γάνος.

Γάνος καὶ Γανιάδα χωρία ἐςὶ Θρᾳκικά.

γανόων λελαμπρυσμένος.

γαργαλίζει κινεῖ, ὑποσαίνει, προτρέπει, ἐρεθίζει. "ὥς' ἐμοῦ γ' ἀκροωμένου" τȣ̃ μέλους "ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος" Ἀριςοφάνης (Thesm. 138). γαργαρίζει δὲ ἐρεθίζει, ἀπὸ τοῦ ςόματος, ὥςε ἐμέσαι.

γαργαρισμός.

Γαργηττός ὄνομα κύριον τόπου.

Γαριζείν ὄρος. Ioseph. A. I. 5 1 19.

Γάρμος ὄνομα κύριον. "ὁ δὲ ἕτερος ταῦρος ἐμυκήσατο κακὸν φώνημα Γάρμῳ." Iamblichus Phot. p. 74 a. cf. v. φάσμα.

γάρος ἀρσενικῶς λέγεται. ἔςι δὲ οὐδὲν ἄλλο ὁ γάρος ἢ σηπεδών. Artemid. 1 66.

γαςήρ ἡ κοιλία. Ὅμηρος διὰ παντὸς γαςέρας καλεῖ, οὐ κοιλίας. καὶ παροιμία "γαςέρα μοι προφέρεις, κάλλιςον ὄνειδος ἁπάντων· ἣ πλήρης μὲν ἐλαφροτέρη, κενεὴ δὲ βαρεῖα" ἐπὶ τῶν γαςριμάργων. γαςέρα δὲ ὁ Δαβὶδ τὸ τῶν λογισμῶν ταμεῖον ἐκάλεσεν· "ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου καὶ ἡ γαςήρ μου." Theodoret. in Ps. 30 p. 50.

γαςρίζεσθαι λαμπρότερον τρέφεσθαι.

γαςρίζομαι τύπτομαι εἰς τὴν γαςέρα· Ἀριςοφάνης (Eq. 273) "ὦ πόλις, ὑφ' οἵων θηρίων γαςρίζομαι."

γαςριμαργία. καὶ γαςρίμαργος ὁ ἄπληςος, καὶ γαςριμάργως ἀπλήςως.

*γάςρις* ὁ περὶ γαςέρα ἀκρατής. καλῦσι δ' οὕτω καὶ τὸν ἕλμινθας ἔχοντα.

*γαῦλος* ὁ εὐαπάτητος. ἢ πλοῖόν τι φορτηγὸν Φοινικικόν, ἢ ἄκατος. *γαυλὸς* δὲ ὀξυτόνως τὸ ποιμενικὸν ἀγγεῖον, ὃ δέχεται τὸ γάλα· Ἡρόδοτος ⟨6 17⟩ "γαυλύς τε ἐνταῦθα καταδύσας." ἢ γαυλὸς ὁ τῦ φρέατος ἀντλητήρ. ἢ οἰνηρὸν ἀγγεῖον, ἐκ ξύλων κατεσκευασμένον, ἣν Ἰταλοὶ μαγγάναν ὀνομάζουσιν. ἐπὶ δὲ τῶν γαλακτοδόχων ἀγγείων "γαυλούς τε γλαγοπῆγας" ἐν ἐπιγράμμασι ⟨AP 6 35⟩.

*γαυνάκας ἀμπεχόμενον.* cf. v. καυνάκης.

*γαυριᾷ* ἀγάλλεται, ἐπαίρεται, θρασύνεται.

*γαυροειδής* ὁ ὑπερήφανος.

*γαῦρον* ςερρόν, μέγα, ἀκλινές, ἀκατάπληκτον· Ἀριςοφάνης Βατράχοις ⟨283⟩ "οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς." Ἀγαθίας ⟨5 15⟩ "ὁ δὲ Βελισάριος τὴν ἐγχείρησιν μείζονα ἔδειξε καὶ γαυροτέραν, καὶ περιχαρής γε τὴν νίκην." καὶ αὖθις "ὁ δὲ γαῦρος ὡσπερεὶ κινούμενος."

*γαῦρος.* "ὁ δὲ γαῦρός τε ὢν --- Παμφυλίας ἀνέςρεφε." Τιμάσιος οὗτος ἦν, ὃν Εὐτρόπιος ἤγαγεν. cf. v. Τιμάσιος.

*γεγαννυμένος* ἐπαγαλλόμενος· "πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ γεγαννυμένος, δίαιτάν τε λαχὼν βαρβαρωτάτην, οὕτω διατεθῆναι" ⟨Agath. 2 p. 67⟩.

*γεγανωμένος* λελαμπρυσμένος, ἐσκεπασμένος. "τὸ περιέχον τῷ κονιορτῷ γεγανωμένον ἐν χώρῳ βοτανώδει," τουτέςι λελευκασμένον.

*γέγειαι* βόες αἱ ἀρχαῖαι.

*γέγηθε* χαίρει.

*γεγηροτροφηκώς* ἐν γήραι θρέψας.

*γέγονεν ἐν καλῷ* καλλίςως ἔσχε.

*γεγράψομαι* δεήσομαι· "ὥς' οὐ Κρέοντος προςάτου γεγράψομαι" Σοφοκλῆς φησί ⟨OR 411⟩.

*γεγωνέναι* καὶ *γεγωνεῖν* ἐξάκουστον βοῆσαι.

*γεγωνοκῶμαι* γυναῖκες αἱ τὰς κώμας ἐμπιπλῶσαι βοήσεων.

*γεγωνὸν* ἐξάκουςον, λαμπρὸν φθέγμα. καὶ *γεγωνίσκειν* τὸ φθέγγεσθαι ἐξάκουςον, καὶ *γεγωνότερον* τρανότερον, καὶ *γεγωνὼς* βοήσας.

*γεγώς* τις.

*Γεδεὼν* ςρατηγὸς τῶν Ἑβραίων. Μα- a
διανίταις σὺν τοῖς Ἄραψι καὶ Ἀμαληκίταις μέλλοντος πολεμεῖν, ὁ θεὸς συνεβούλευεν ἐπιςὰς περὶ μέσην ἡμέραν, ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἀγαγεῖν τὸν ςρατὸν εἰς τὸν ποταμόν, καὶ τοὺς μὲν κατακλιθέντας καὶ ὕτω πίνοντας εὐψύχους εἶναι ὑπολαμβάνειν, ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τῦτο πάσχειν, καταπεπληγότας τὺς πολεμίυς. καὶ εὑρέθησαν τ' ταῖς χερσὶ τεταραγμένως πίνοντες ⟨Ioseph. A. I. 5 6 3⟩.

*Γεδεὼν* κριτὴς τοῦ Ἰσραὴλ ἐπάταξε τὸν b
Μαδιὰμ μετὰ τῶν λαψάντων ἐν τῷ πίνειν, καὶ τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμωνᾶν, τοὺς ἄρχοντας αὐτῶν· τόν τε πύργον τοῦ Φανουὴλ κατέςρεψε, καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ'.

*γέεννα* ἡ καταδίκη.

*γεηρὸν* τὸ γήινον.

*γειναμέναις* γεννηθείσαις· "δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ μοῖραι ἐπέκλωσαν δὴ τότε γειναμέναις" ⟨Diog. L. 3 30⟩.

*γείνατο* ἐγέννησε, καὶ *γείνεται* γεννᾷ.

*γειοκόμον* τὸ γειτνίαμα.

*γείσιον* καὶ *γεῖσος* τὸ ἄκρον τοῦ τείχους, ἢ ςεφάνωμα οἴκου. καὶ *γεῖσα* τειχῶν ἄκρα. ἢ *γεῖσος* ὁ γεωργός.

*γεισίπυς* καὶ *γεισιπόδισμα* καὶ *γεισιποδίζειν.* τὸ ἐξέχον τῆς δοκοῦ, ἐφ' ῦ τὸ γεῖσόν ἐςι, γεισίπους καλεῖται καὶ γεισιπόδισμα, γεισιποδίζειν δὲ τὸ ποιεῖν τῦτο. Harp.

*γειτνιάζω* δοτικῇ.

*γειῶραι* οἱ τὴν γῆν φυλάσσοντες. cf. vv. γεῶρες et γηῶραι.

*γειωρῆσαι.*

*Γέλα* καὶ Καμάρινα πόλεις Σικελίας.

*Γελάδας* ⟨an Ἀγε-⟩ ἀγαλματοποιός, διδάσκαλος Φειδίου.

*γελασείοντα* γελαςικῶς ἔχοντα, γελάσαι θέλοντα.

*γελασείω* ἐπιθυμητικῶς ἔχω τῦ γελᾶν. Δαμάσκιος "νῦν δὲ καὶ τῷ μὴ πάνυ γελασείοντι γέλωτα παρέξει γενναῖον ἢ τῦ ἔργυ διέξοδος."

*γελασίνοις* γραμμαῖς ταῖς ἐκ τῦ γελᾶν γινομέναις. ἐν ἐπιγράμματι ⟨AP 5 35⟩ "καὶ ῥ' ἣ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις, λευκὴ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίην."

*γελαςής* ὁ ἐπεγγελῶν. "οὐθ' ὡς γελαςής, Οἰδίπους, ἐλήλυθα, οὐθ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν" ὁ Κρέων φησί ⟨S OR 1422⟩.

*γελγέλ* ὁ τροχὸς ὀνομάζεται. καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ τοῦ σωτηρίε ςόματος προενεχθέντα ταῦτα τὰ ῥήματα δίκην τροχοῦ κατὰ τὴν οἰκουμένην ἐκυλίσθη καὶ πᾶσαν ἐπέδραμε, καὶ ἐβαπτίσθησαν πάντες κατὰ ἔθνη καὶ πόλεις. διὸ καὶ Γαλιλαία καταχυλιςὴ λέγεται τῇ 'Ελλάδι γλώσσῃ.

*γέλγιθες* σκορόδων κεφαλαί· ⟨AP 6 232⟩ "καὶ πότιμοι γέλγιθες ἠδέ τε ὄγχναι, δαψιλῆ οἰνοπόταις γαςρὸς ἐπεισόδια."

*Γελίμερις* ὄνομα κύριον.

*Γελλοῦς παιδοφιλωτέρα.* αὕτη ἄωρος ἐτελεύτησε, καὶ τὸ φάντασμα αὐτῆς ἐδόκουν ἐπὶ τὰ παιδία καὶ τοὺς ἀώρους θανάτους ἰέναι.

*γελοῖον* γέλωτος ἄξιον.

*γέλοιος* ὁ καταγέλαςος, προπαροξυτόνως, *γελοῖος* δὲ ὁ γελωτοποιός. καὶ παροιμία ⟨Iulian. or. 3 p. 111⟩ "γελοιότερον ἀπεργάζῃ τῶν τὰς κέγχρους ἀποτορεύειν ἐπιχειρούντων, καθάπερ φασὶ τὸν Μυρμηκίδην ἀντιπραττόμενον τῇ Φειδία τέχνῃ." καὶ ἑτέρα παροιμία "γελοιότερον Μελητίδου," ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων· Μελητίδης γὰρ ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ, κατὰ ταὐτὰ τῷ Ἀμφιςείδῃ. τοῦτον δέ φασιν ἀριθμῆσαι μὲν πολλὰ παθόντα μέχρι τῶν πέντε, καὶ πέρα μηκέτι δύνασθαι, γήμαντα δὲ τῆς νύμφης μὴ ἅψασθαι· φοβεῖσθαι γὰρ μὴ αὐτὸν ἡ παῖς τῇ μητρὶ διαβάλλῃ. ὁ δὲ Ἀμφιςείδης ἠγνόει ἐξ ὁποτέρου γονέων ἐτέχθη. cf. v. Μαργίτης.

*Γέλων* ὄνομα κύριον. *γέλων* δὲ τὸν γέλωτα. καὶ *γελῶ σε.*

*Γελῷος* ἐθνικόν, καὶ *Γελῷων.* καὶ *γέλας* ἡ χαρμονή.

*γέλως Μεγαρικός·* ἤκμασε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἀώρως, ἣν Ἀθηναῖοι καταμωκώμενοι ἐγέλων. cf. sch. A Vesp. 57.

*γέλως πλατύς.* "ὁ δὲ Πέρσης ἐς τοσοῦτον ἐληλάκει φρυάγματος ὡς γέλωτα τῶν ἀγγελλόντων καταχέειν πλατύν" Σιμοκάτης φησί ⟨2 2⟩.

*γέλως συγκροτούσιος* ὁ ἄτακτος καὶ ἄσεμνος, ἐκ μεταφορᾶς τοῦ μετὰ κρότε χειρῶν καὶ ποδῶν γινομένου γέλωτος.

*γεμίζω* τὸ ἀντλῶ.

*Γεμίνιος* ὄνομα κύριον.

*γέμω* τὸ πλήθω· "ὁ δὲ Σκιπίων πυνθανόμενος τὸν ἀδελφιδοῦν γέμειν ἀργίας καὶ ςάσεως καὶ τρυφῆς, ἔφη μὴ κρατήσειν πολεμίων πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς" ⟨Appian. Iber. 84⟩.

*γενάρχου* πατρός.

*γενεά* κατ' ἐνίους μὲν ἔτη ζ', ὅθεν καὶ λέγουσιν οἱ ἰατρικοὶ τὸν δύο γενειῶν μὴ δεῖν φλεβοτομεῖν, τὸν τεσσαρεσκαιδεκαετῆ λέγοντες ὡς ἔτι προσδεόμενον αἵματος καὶ οὐδέπω ἔχοντα περισσὸν αἷμα· κατ' ἐνίες δὲ λ', ὅθεν καὶ τὸν Νέςορα βούλονται ἐνενηκονταετῆ γεγονέναι. Artemid. 2 70.

*γενεαῖς γενεῶν,* τουτέςιν ἀπείροις τισὶ γενεαῖς.

*γένεθλα* γεννήματα.

*γενέθλια* ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τε τεχθέντος ἑορτή. καὶ *γενεθλιαλογία* μαντεία περὶ τῆς γεννήσεως.

*Γενέθλιος Γενεθλίου,* Παλαιςῖνος ἐκ Πετρῶν, σοφιςής, μαθητὴς Μινουκιανε καὶ Ἀγαπητε, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν μιᾷ ἀκροάσει. τελευτᾷ δὲ νέος ἐτῶν κη'. ἔγραψε δὲ λαλιὰς ἤτοι διαλέξεις καὶ μελέτας, ὧν ἐςὶν ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, πανηγυρικούς.

*γενειάς* αἱ τρίχες, *γένειον* ὁ τόπος, τὸ μέρος τε σώματος. ⟨S Trach. 13⟩ "ἐκ δὲ δασκίε γενειάδος κρενοὶ διερραίνοντο κρηναίε ποτοῦ."

*γενέσια* ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεθνεῶτος μνήμη.

*γένεσις* ὁ κόσμος· "περὶ τὴν γένεσίν τε a
πλανᾶται λήθῃ βαρούμενος καὶ κακίᾳ."

*γένεσις* ἡ τε παντὸς διακόσμησις· ⟨Da- b
mascius⟩ "ὁ δὲ Ἰσίδωρος διαπτύων τὴν γένεσιν ἀεὶ πρὸς θεὸν ἐτέτατο τὴν ψυχήν, καὶ οὐδὲν ἦν ἰδεῖν ἢ ἀκοῦσαι φθεγγόμενον ἢ τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ἢ περὶ ἀρετῆς καὶ κακίας."

*γένεσις.* γένεσις λέγεται καὶ ἡ εἱμαρμένη· c
"ἔςι δὲ πρεσβύτερον τῆς γενέσεως ἔννοια καὶ αὐτεξουσιότης." γένεσις καὶ ἡ ἀρχή· Αἰλιανός "ἔνθεν οἱ καὶ τὸ ἀρρώςημα ἦν τὴν γένεσιν λαβόν."

γενέτειραν μητέρα, ποιητικῶς.

γενετή πατριά. ἢ γενέσια.

γενέτης ὁ πατήρ.

γενετικόν ἡ γέννησις.

γενετυλλίς δαίμων περὶ τὴν Ἀφροδίτην γενέσεως αἴτιος, ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένη. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἳ δὲ περὶ τὴν Ἄρτεμίν φασι τῶν τοκετῶν ἐφόρους, καὶ πάλιν παρὰ τὴν γένεσιν. Ἀριςοφάνης ⟨Th. 136⟩ "ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι γενετυλλίδες, καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν."

Γεννησαρέτ ὄνομα τόπου.

γεννάδας γενναῖος, εὐγενέςατος.

Γεννάδιος πατριάρχης Κωνςαντινεπόλεως, νύκτωρ εἰσελθὼν εἰς τὸ ἅγιον θυσιαςήριον προσεύξασθαι, εἶδέ τι φάσμα δαιμόνιον, καὶ ἤκουσε κράζοντος ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσιν, ὕςερον δὲ κρατήσει πάντως τῆς ἐκκλησίας. Theodotus Lector 1 p. 555.

γενναῖος ὁ εὖ γεγονώς. καὶ "γενναῖος εἰ ἐκ βαλλαντίȣ" ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. ὅτι χρημάτων κρείττων ὁ γενναῖος ἀνήρ.

γενναιότατος· "ὤμοι τάλαινα, ὡς κακῶς διάκεισαι γενναιότατος περὶ ἐμὲ γενόμενος καὶ θανάτου με ῥυσάμενος."

γέννησιν τὴν τῶν ἀφροδισίων μῖξιν.

a γεννῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλ' οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας. οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες, νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας λ'. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττῦς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάςην διεῖλον μέρη, τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φρατρίας καὶ τριττῦς ιβ', καθάπερ οἱ μῆνες, τὰ δὲ γένη λ' ἐν ἑκάςῃ φρατρίᾳ, καθάπερ αἱ ἡμέραι τξ'. sch. Plat. p. 382.

b γεννῆται οἱ τοῦ αὐτοῦ γένȣς κοινωνȣ̃ντες. καὶ γὰρ διῄρηντο κατὰ μέρη οἱ τῶν Ἀθηναίων πολῖται, καὶ τὰ μὲν μέγιςα μέρη φυλαὶ ὠνομάζοντο, ἑκάςη δὲ φυλὴ πάλιν εἰς τρία διῄρητο, ὧν ἕκαςον μέρος τριττὺς καὶ φρατρία ὠνομάζετο. πάλιν δὲ τῶν φρατριῶν ἑκάςη εἰς γένη διῄρητο λ', ἐξ ὧν αἱ ἱερωσύναι αἱ ἑκάςοις προσήκουσαι ἐκληροῦντο. καὶ γεννῆται οἱ ἐκ τοῦ αὐτοῦ καὶ πρώτȣ γένȣς τῶν λ' γενῶν, οὓς καὶ πρότερόν φησι Φιλόχορος ὁμογάλακτας καλεῖσθαι. Ἰσαῖος μέντοι τοὺς γεννήτας ἁπλῶς τοὺς ἐξ αἵματος συγγενεῖς ὀνομάζει. cf. Harp.

γεννητική. ὅτι κρείσσων πασῶν καὶ τιμιωτέρα τῶν τῆς ψυχῆς φυσικῶν δυνάμεων ἡ γεννητική, δεύτερον δὲ ἡ αὐξητική, καὶ τρίτον ἡ θρεπτική. τῆς μὲν γὰρ θρεπτικῆς ἔργον ἐςὶ τὸ σώζειν τὸ εἶδος (μέχρι γὰρ τοσούτȣ σωζόμεθα ἕως ἂν τρεφώμεθα), τῆς δὲ αὐξητικῆς τὸ εἰς τέλειον καὶ κατὰ φύσιν μέτρον ἀγαγεῖν, εἰς ὃ γενόμενα τά τε ζῷα καὶ τὰ φυτὰ ἐπὶ τὸ σκοπιμώτατον τῆς φύσεως τέλος, λέγω δὴ τὴν γεννητικὴν δύναμιν, παραγίνεται· οὗτος γὰρ τῆς φύσεως ὁ τελικώτατος σκοπὸς διὰ τὴν ἔφεσιν τῆς ἀιδιότητος τῆς θνητοῖς ζῴοις ἐπισκευαςῆς τῇ διαδοχῇ γινομένης. ὥςε ἡ μὲν αὐξητικὴ ὕλης ἐπέχει λόγον πρὸς τὴν γεννητικήν, πρὸς δὲ τὴν αὐξητικὴν ἡ θρεπτική.

ὅτι Μέλισσος ᾤετο τὸ μὴ γενόμενον οὐκ ἔχειν ἀρχήν. ψεῦδος δέ ἐςι· πολλὰ γὰρ ἀγέννητα ὄντα ἀρχὰς ἔχει.

γεννικῶς γενναίως, ἰσχυρῶς.

γεννούςης οἷον γεννήτης, ἢ συγγενής, ἢ ἔγγονος. τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον. sch. Plat. p. 382.

γενόμενα καὶ γινόμενα διαφέρει· τὰ μὲν γὰρ γενόμενα πάντως ἀπέβη, τὰ δὲ γινόμενα ἤτοι ἀποβαίνει ἢ οὔ.

γενόμενος ἐξ ὀφθαλμῶν φυγών, ἀποδράσας· "ὃ δὲ γενόμενος ἐξ ὀφθαλμῶν αὐτὸς εἶχε τἀπίχειρα τῆς ἀγνοίας." γεννώμενος δὲ διὰ δύο ν ὁ τικτόμενος.

γέντα τὰ μέλη· "γέντα βοὸς μέλδοντες" Καλλίμαχος (fr. 309).

γένυς τὰ γένεια. a

γένυς εἶδος πελέκεως. ⟨S El. 196⟩ "ὅτε b
σοι παγχάλκων ἀνταία γενύων ὡρμάθη πλαγά."

γένυσι σιαγόσιν· ἐν ἐπιγράμματι ⟨AP 6 218⟩ "χὼ μὲν ἐνέκλεισεν φονίαν γένυν, ἐκ δὲ τενόντων ἔνθȣς ῥομβητὴν ἐςροφάλιξε φόβην."

γένωμαι γενικῇ, αὐθυπότακτον. γεννῶ δὲ αἰτιατικῇ.

γεοῦχος ὁ Ποσειδῶν ὁ τὴν γῆν ἔχων.

γέρα, οὐδετέρως, τιμαί· "ἐπειδὴ κεκάθαρτο τῷ βασιλεῖ ὁ ςρατός, καὶ τὰ γέρα σὺν δίκῃ νενέμητο ἑκάςοις, τηνικαῦτα ἔγνω ἐξελαύνειν ἐπὶ πόλεμον."

*γεραία* ἡ γραῦς, καὶ *γεραιαί* αἱ τῷ Διονύσῳ ἱερώμεναι γυναῖκες.

*γεραιός* ἔντιμος, καὶ ὁ ῥυτίδων ἀνάπλεως. ἐν ἐπιγράμματι ⟨AP 6 102⟩ "ῥοιὴν ξανθοχίτωνα γεραιόφλοιά τε σῦκα." καὶ αὖθις ⟨AP 7 24⟩ "ἧς ὁ γεραιὸς λαρότερον μαλακῶν ἔπνεεν ἐκ ϛομάτων."

*γεραίρειν* τιμᾶν, δοξάζειν. καὶ *γέραιρε* δόξαζε, τίμα· καὶ παροιμία "γέραιρε σαυτόν" ἀντὶ τοῦ εὔφραινε σαυτὸν μεγαλορρημονῶν.

*Γεραιϛός* ὄνομα λιμένος.

*γεραίτερος* παλαιότερος· "λόγος γέ τοί τίς ἐϛι τῶν γεραιτέρων, ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα, ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν" ⟨A Eccl. 494⟩. Ποσειδῶν γὰρ καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, καὶ νικῆσαι τὴν Ἀθηνᾶν. ἡττηθέντα δὲ τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταράσασθαι τῇ πόλει, καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τὸς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι. ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν τῆς κατάρας προσθεῖναι ὅτι κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν. cf. v. Ἀθηναίων δυσβουλία.

*γεράνδρυον μεταφυτευόμενον*, ἐπὶ τοῦ ἀδυνάτȣ. παρεγγυᾷ μὴ δεῖν τοὺς παρηβηκότας προσάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.

*Γεράνεια* ὄρος τῆς Μεγαρίδος.

*Γεράνεια* πόλις.

*γέρανοι λίθους καταπεπωκυῖαι*, ἐπὶ τῶν προνοητικῶς τι ποιούντων. αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαϛάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν, καὶ αἴσθοιντο πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάττης ἤκοι ὁ λίθος, ἀνύσσι τὴν ὁδόν, εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριϛοφάνης ⟨Av. 1137⟩ "γέρανοι λίθους καταπεπωκυῖαι."

*γέρανος* τὸ ὄρνεον. ἐπίκοινον τῷ γένει. Βάβριος ⟨143⟩ "Λίβυσσα γέρανος ἠδὲ ταὼς εὐπήληξ χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην."

*γεραρόν* ⟨Hom. Γ 170⟩ ἔντιμον, ἢ πρεσβύτερον.

*γέρας* ἀμοιβαί, τιμαί, ἀνταποδόσεις.

*γεργέριμον*" τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλαίαν "πίτυρίν τε καὶ ἣν ἀπεθήκατο λευκήν," τουτέϛι τὴν συνθλασθεῖσαν καὶ οὕτως ἀποτεθεῖσαν ἐλαίαν. "εἰν ἁλὶ" δὲ "νήχεσθαι φθινοπωρίδα" τὴν κολυμβάδα λέγει. cf. Athen. p. 56.

*Γεργεσαῖος* ἀπὸ τόπου, καὶ *Γεργεσηνός*.

*Γέργηθες* ὄνομα πόλεως. ἢ ἡ τύρβη. καὶ οἱ χειρώνακτες ȣτω καλȣνται παρὰ τοῖς Μιλησίοις τοῖς ἐν περιβολῇ, τȣτέϛι τοῖς πλȣσίοις. cf. v. περιβολή.

*γέρδιος* ὑφάντης. και παρ' ἡμῖν ἡ *γερδία*.

*Γερήνιος* ἔντιμος γέρων. ἢ ἐν τῇ Γερήνῃ.

*Γέρης* ὄνομα πένητος καὶ φαλακροῦ, ἔθνȣς Χαόνων. διεβάλλετο δὲ εἰς μαλακίαν. καὶ Ἀριϛοφάνης ⟨Eccl. 932⟩ "σοὶ δὲ φίλος τίς ἐϛιν ἄλλος ἢ Γέρης;" οὐκ ἔϛι δὲ παρὰ τὸ γῆρας.

*Γερμανικός* ὁ Φράγγος.

*γερούσιον* ⟨Hom. Δ 259⟩ ἔντιμον.

*γέρρα* παρὰ Σικελοῖς τὰ γυναικεῖα καὶ a
ἀνδρεῖα αἰδοῖα.

*γέρρα*. Περσικὰ μέν ἐϛιν ὅπλα κυρίως b
τὰ γέρρα, καταχρηϛικῶς δὲ καὶ ἅπαν σκέπασμα εἴτε δερμάτινον εἴτε ἄλλης τινὸς ὕλης γέρρον ἐλέγετο· διὸ καὶ Δημοσθένης τὰ τῶν σκηνῶν σκεπάσματα καὶ περικαλύμματα ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨169⟩ γέρρα καλῶν ἐμπίπρασθαι λέγει. λέγοιτ' ἂν ὁμοίως γέρρα καὶ τὰ τῶν σκηνῶν περιφράγματα. Harp.

*γερράδια* ϛρωτηρίδια.

*γέρρον* ὅπλον· Ξενοφῶν ⟨Cyr. 2 1 9⟩ a
"γέρρον ἐς τὴν ἀριϛεράν, κοπὶς ἢ σάγαρις εἰς τὴν δεξιάν," καὶ αὖθις ⟨Anab. 4 7 22⟩ "οἳ δὲ γέρρα ἔλαβον δασέων βοῶν ὠμοβόινα ἀμφὶ τὰ εἴκοσι." γέρων γέροντος· ἡ κλητικὴ ὦ γέρον. καὶ παροιμία "γέροντι μηδὲν μή ποτε χρηϛὸν ποίει." παρεγγυᾷ μὴ ἀκρίτως εὐεργετεῖν.

*γέρρον* ἐπὶ ϛαυροῦ φησὶν Εὔπολις. καὶ b
Δημοσθένης ⟨18 169⟩ "τὰ γέρρα ἐνεπίμπρασαν." καὶ οἱ τόποι οἱ παραπεφραγμένοι, καὶ ἀσπίδες Περσικαὶ ἐκ λύγων. καὶ γέρρα τὰ σκεπάσματα πάντα Ἀττικοί. τινὲς δὲ δερμάτινα σκεπάσματα καὶ Περσικά, οἷς ἀντ' ἀσπίδων ἐχρῶντο· Ἡρόδοτος ⟨9 61⟩. ⟨X Cyr. 2 1 21⟩ "Κῦρος περιελὼν τὰ πολλὰ τῶν πολεμικῶν, κατέλιπε μόνον τὸ συνὸν τοῖς ϛρατιώταις, μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι." καὶ αὖθις ⟨Anab. 1 8 9⟩ "καὶ γερρο-

φόροι ὁπλῖται ἐχόμενοι τούτων, σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσιν. *Αἰγύπτιοι* δὲ ὗτοι ἐλέγοντο." σημαίνει δὲ καὶ πᾶν αἰδοῖον.

*γέρων* ἀλώπηξ ὀχ ἁλίσκεται πάγῃ," ἐπὶ τῶν διὰ χρόνου πλῆθος ἐμπείρων καὶ δυσαλώτων. καὶ "γέρων βοῦς ἀπένθητος δόμοισιν" ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων. "γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ. ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται." ἐπὶ τῶν ἅπαξ δυϛυχησάντων (Diog. L. 5 93).

**Γεσᾶται** ἐθνικόν.

**Γέσιος** ἐπὶ *Ζήνωνος* ἦν λαμπρυνόμενος ἐπὶ τέχνῃ ἰατρικῇ, *Πετραῖος* τὸ γένος. καθελὼν δὲ τὸν ἑαυτȣ̃ διδάσκαλον *Δόμνον* τὸν *Ἰουδαῖον*, καὶ τȣ̀ς ἑταίρους πρὸς ἑαυτὸν μεταϛησάμενος ὀλίγȣ πάντας, πανταχοῦ ἐγνωρίζετο καὶ μέγα κλέος εἶχεν οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργάτιδος, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης παιδείας· φιλότιμος γὰρ καὶ φιλόπονος ὢν ὁ ἀνὴρ ἄλλην τε πολλὴν ἐν πολλῷ χρόνῳ μελέτῃ καὶ οὐ φύσει προσπεριεβάλετο δοξοσοφίαν, καὶ τὴν τῶν ἰατρικῶν ἔργων τε καὶ λόγων ἀκριβεϛέραν τῶν καθ' ἑαυτὸν πάντων ἰατρῶν τε καὶ ἰατροσοφιϛῶν κατώρθωσε τέχνην. βραδέως δὲ ἀρξάμενος ἐπιδεικνύναι δημοσίᾳ τὴν ἐπιϛήμην, ταχέως ἀνέδραμέ τε καὶ εὐθήνησεν ἐπ' αὐτῇ, πομπικὸς ὢν καὶ ἐπιδεικτικός, φιλοσοφίας μὲν ἐπ' ὀλίγον ἥκων, ἰατρικῆς δὲ ἐπὶ πλεῖϛον. ὅθεν καὶ χρημάτων μεγάλων ἐγένετο κύριος καὶ *Ῥωμαϊκῶν* ἔτυχεν ἀξιωμάτων οὐ τῶν τυχόντων· ἀποδέχομαι δὲ τὸ ἀνδρεῖον παράϛημα τῆς ἀγαθῆς ψυχῆς· τόν τε γὰρ *Ἡραΐσκον* ἐπιζητούμενον ὑπὸ *Ζήνωνος* βασιλέως οἴκῳ τῷ ἰδίῳ κατέκρυψε, παραβαλλόμενος πρὸς τὸν κίνδυνον, καὶ ἐπειδὴ ἐν τῇ φυγῇ νοσήσας ἀπηλλάγη τȣ̃ σώματος, εὖ τε περιϛείλας καὶ τὰ νομιζόμενα θεραπεύσας. ὁ δὲ ἀποϛαλεὶς *Βασιλικὸς Ἀγάπιον* καὶ τοὺς ἄλλους φιλοσόφȣς καταϛχὼν εἰς τὸ ἀρχεῖον ἀπήγαγε. Damasc. Phot. p. 352 b.

*γεσοί.* "οἱ *Ῥωμαῖοι* πήξαντες τὰς γεσȣ̀ς καὶ τὰς περικεφαλαίας τούτοις ἐπιθέντες φαντασίας παρέσχοντο τοῖς ἐκ διαϛήματος ὡς μένοντες ἐπὶ τοῦ λόφου." ἔϛι δὲ ὅπλον. ὅτι ὁ γέσος ἐϛὶ μακροκέντης ἢ κοντός. ὅτι *Κρίτων* ἔγραψεν ἐν τοῖς *Γετικοῖς*.

*γεύομαι* γενικῇ.

*γευϛὴ γλῶττα.* ζήτει ἐν τῷ γλῶττα.

*γεφυρίζων* χλευάζων, ἐξευτελίζων. *Πολύβιος* "ὁ δὲ *Σύλλας* πορθήσας τὰς *Ἀθήνας* ἐδέησε μικροῦ διαφθεῖραι τὴν πόλιν θυμῷ διὰ τὰ σκώμματα, ἃ δὴ πολλὰ κατ' αὐτοῦ γεφυρίζων καὶ ἐπικερτομῶν ὁ *Ἀριϛίων* παρ' ὅλην ἀπέρριπτε τὴν πολιορκίαν."

**Γεφυρίς** ξένη καὶ ἐπείσακτος· οἱ γὰρ *Γεφυραῖοι* ξένοι καὶ ἐπήλυτοι ὄντες *Ἀθήνησιν* ᾤκησαν. οὕτως *Ἡρόδοτος* (5 57).

*γεωγραφία* ἡ περιήγησις.

*γεώδης* ὁ ἐκ τῆς γῆς.

*γεώλοφον* ὀρεινόν, ὄρος, ὕψωμα γῆς. καλοῦσι δ' οὕτως καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. (AP 6 98) "πέπατο γὰρ ȣ̉ μέγα τȣ̃το κληρίον ἐν λυπρῇ τῇδε γεωλοφίῃ."

*γεωμέτρης* ὁ τὴν γῆν μετρῶν.

*γεωμετρία.* γεωμετρία ἐϛὶν ἐπιϛήμη ἐπιϛητοῦ ἢ ὑποληπτοῦ· ἐπιϛητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐϛὶν ἡ γεωμετρία ἐπιϛήμη. ταύτην δὲ τὴν ἐπιϛήμην ἐφεῦρον *Αἰγύπτιοι*, ἐκ τοῦ ἀπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χώρων προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.

*γεωμόριον* γεώργιον. ἐν ἐπιγράμμασι (AP 6 258) "ἐφ' αἷς πολὺν ἔβρασεν ἄντλον *Κρίθων*, καὶ λιπαρὰν εἶδε γεωμορίην." cf. v. ἀντλία.

*γεωμόρος* ὁ περὶ τὴν γῆν κοπιῶν.

*γεωπεῖναι* οἱ μικρὰν καὶ λυπρὰν ἔχοντες γῆν. παρὰ δὲ *Ἡροδότῳ* (2 6) οἱ γῆς πεινῶντες καὶ ἀπορούμενοι.

*γεωπείνης* καὶ *γεωπόνος* ὁ τὴν γῆν πεινῶν καὶ ἐργαζόμενος.

*γεωπόνος* ὁ γεωργός.

**Γεώργιος** διάκονος τῆς μεγάλης ἐκκλησίας καὶ χαρτοφύλαξ, τὸ ἐπίκλην *Πισίδης*, ἑξαήμερον δι' ἰάμβων εἰς ἔπη τρισχίλια, εἰς *Ἡράκλειον* τὸν βασιλέα καὶ εἰς τὸν κατὰ *Περσῶν* πόλεμον, ἔτι τε *Ἀβαρικά*, καὶ καταλογάδην ἐγκώμιον εἰς τὸν μάρτυρα *Ἀναϛάσιον*.

*γεωργῶ* αἰτιατικῇ.

*γεῶρες* οἱ γεωφύλακες.

*γεωφάνιον* χωρίον ἐν ᾧ μέταλλον. Harp.

*γηγενεῖς* οἱ ἐκ τῆς γῆς γεγονότες *Ἀδὰμ* καὶ *Εὔα*, ἐπεὶ οὐκ ἐκ συνουσίας ἐγένοντο, κυρίως· καταχρηϛικῶς δὲ πᾶς ἄνθρωπος. Theodoret. in Ps. 48 2.

*γηγενεῖς* ὠχροὺς καὶ νεκρώδεις. ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τȣ̀ς *Γίγαντας*. ὅτω διαβάλλει τοὺς φιλοσόφους *Ἀριϛοφάνης Νε-*

16

φέλαις ⟨851⟩· "ταῦτ' ἔμαθες τὰ δεξιὰ εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;" καὶ ⟨Ran. 845⟩ "γηγενεῖ φυσήματι" ἀντὶ τοῦ μεγάλῳ, ὥστε σεισμοὺς ποιεῖν· ἀρχαία γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένην σείεσθαι τὴν γῆν· Ἀριστοφάνης. λέγονται καὶ γηγενεῖς οἱ τὰ γήϊνα φρονοῦντες.

*γηγενέτης* ὁ γηγενής.

*γήδιον* μικρὰ γῆ· "ὑπεδέξατο αὐτοὺς ἄγροικος πένης, γήδιον λεπτὸν κακῶς γεωργῶν."

*γῆ ζώντων* ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος καὶ ἐλεύθερος λύπης. Δαβίδ ⟨Ps. 26 13⟩ "ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν."

*γῆ θάλατταν συναναμίγνυσιν.* ἐπὶ τῶν σφόδρα ὀργιζομένων ἡ παροιμία.

*γήθειν* χαίρειν.

*γηθοσύνη* χαρά, καὶ *γηθοσύνως* μετὰ χαρᾶς.

*γηθόσυνοι* χαίροντες, καὶ γήθω ῥῆμα.

*γηθυλλίς* λάχανον πράσῳ ὅμοιον, ὅ τινες ἀμπελόπρασον λέγουσιν.

*γήϊνος* ὁ φθαρτός.

*γῆ κληρουχική.* οἱ Ἀθηναῖοι λαμβάνοντες πολεμίαν πόλιν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, πολίτας ἑαυτῶν ἀποστέλλοντες κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. sch. A Nub. 203.

*γήλοφος* ὁ ὑψηλὸς τόπος.

*γήμας* ὁ ἀνήρ. καὶ *γήμω* αἰτιατικῇ.

*γῆμ' ἐπῆρε* γῆμαι ἀνέπεισε. κυρίως δὲ τὸ ἐπῆρεν ἀντὶ τοῦ ἐχαύνωσε καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἐχούσης. Ἀριστοφάνης Νεφέλαις ⟨42⟩ "ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα."

*γῆν ἰλλομένην* ⟨Plat. Tim. p. 403⟩ συγκεκλεισμένην καὶ περιειλημμένην· ἰλλάδες γὰρ οἱ δεσμοί.

*Γήπαιδες* ὄνομα ἔθνους.

*γήπεδον* τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Harp.

*γηραιός* παλαιός, προβεβηκώς. "ὃ δὲ γηραιός τε ὢν ἤδη καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μὴ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ὥσπερ τις νεανίας ῥωμαλεώτατος οὐκ ἀπηγόρευε πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην εἰς τὰς παρατάξεις ἐφοίτα" ⟨Agath. 2 22⟩.

*γηραλέα* ἡ γραῖα, καὶ γηραλέος ὁ γέρων.

*γηρᾶναι* γηράσαι. καὶ παροιμία "γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος," ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

*Γήρειον* τόπος.

*γηροβοσκῶ* γηροτροφῶ. Σοφοκλῆς ⟨Ai. 570⟩ "ὅπως γένηται γηροβοσκὸς εἰσαεί, μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ."

*γῆρυν* φωνήν· ἐν ἐπιγράμματι ⟨AP 6 68⟩ "σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων."

*Γηρυόνεια δένδρα* ⟨Philostrat. V. A. 5 5⟩ καὶ *Γηρυόνειον νῆμα.*

*Γηρυόνης* ὄνομα κύριον. Ἀριστοφάνης ⟨Ach. 1081⟩ "βούλει διαμάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;" ἀντὶ τοῦ τετρακεφάλῳ. αἰνίττεται δὲ τὴν τοῦ Λαμάχου περικεφαλαίαν τρεῖς λόφους ἔχουσαν, ἀπὸ τῶν περικειμένων αὐτῇ πτίλων. ὃ δὲ λέγει, τοιοῦτον ἐστί· βούλει πρός τινα ἀκαταμάχητον μάχεσθαι; ὁ γὰρ Γηρυόνης τρικέφαλος ὢν πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

*Γηρυονός* ὄνομα κύριον.

*γῆρυς* ⟨Hom. Δ 437⟩ ἡ φωνή.

*γηρωκομεῖον.* γηροτροφεῖον δέ.

*γῆς ἄγαλμα.* γυναῖκα πλάττουσι τὴν Ἑστίαν, οἱονεὶ τὴν γῆν, τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτὴν συγκλείει. Codin. orig. CP p. 15.

*γῆς βάρος,* ἐπὶ τῶν εἰς μηδὲν συντελούντων. καὶ ἑτέρα παροιμία "γῆς ἔντερα," ἐπὶ τῶν μηδενὸς ἀξίων.

*γῆς ὀμφαλός* ὁ νεὼς τοῦ Ἀπόλλωνος. ⟨S OR 895⟩ "εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν; οὐκέτι τὸν ἄθικτον εἶμι γῆς ἐπ' ὀμφαλὸν σέβων." τουτέστιν οὐκέτι ἄπειμι πρὸς τὸν Ἀπόλλωνα, οὐδὲ πρὸς τὸν ἄχραντον καὶ σεβάσμιον καὶ ἀπροσπέλαστον αὐτοῦ νεών.

*γήσεια* κρόμμυα.

*γήτεια* εἶδος βοτάνης παρεοικὸς πράσῳ ⟨sch. A Vesp. 494⟩.

*γήτειον* τὸ ἀμπελόπρασον· Ἀριστοφάνης ⟨Ran. 637⟩ "τύπτε τοῦτον γητείῳ." ⟨AP 7 195⟩ "δῶρα δέ σοι γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω, καὶ δροσερὰς στόμασι σχιζομένας ψεκάδας." καὶ αὖθις Ἀριστοφάνης ⟨Vesp. 495⟩ "ἡ λαχανόπωλις παραβλέψασά φησι θατέρῳ· εἰπέ

μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι;" ζήτει ἐν τῷ βασανίσαι.

Γηών ποταμός.

γηῶραι ἐπίμικτοι, τηρηταὶ τόπων.

γιγαντιᾷ τὰ τῶν Γιγάντων φρονεῖ. Πισίδης (Heracl. 1 30) περὶ Χοσρόῳ "γιγαντιᾷ δὲ καὶ τυραννῆσαι θέλει." καὶ γιγαντιαῖον ὄνομα τὸ μέγα. καὶ γιγαντολέτειρα ἡ τοὺς Γίγαντας ὀλοῦσα, καὶ γιγαντολέτις ὁμοίως θηλυκῶς, καὶ γιγαντολέτωρ.

γιγαντώδης· "ἐδόκει γάρ τό τε σῶμα γιγαντώδης εἶναι καὶ τὸν θυμὸν θηριώδης, καὶ ἐς ἀγχίνοιαν τῶν συλληϛευόντων ἁπάντων πολυπλοκώτερος."

γίγαρτα τῶν ϛαφυλῶν ὁ καρπός. Ἀριϛοφάνης (Pac. 635) "ὧν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας·" οἱ γὰρ ἀγροῖκοι κόπτοντες τὰ γίγαρτα μετὰ τῶν ἰσχάδων ἤσθιον.

Γίγις Γίγιδος ὄνομα κύριον. Plutarch. Artax. 19.

γιγλισμός κιχλισμός, ἀπὸ χειρῶν γέλως, γαργαλισμός.

γίγλυμοι ἀντεμβολαὶ τινῶν ἐξοχῶν πρὸς κοιλότητας, οἵαπερ ἡ κατὰ τὸν πῆχυν πρὸς τὸν βραχίονα συμβολή.

γίγνω καὶ γιγνόμενος. καὶ "γίνομαί σοι Μωυσῆς" δοτικῇ.

Γιεζῆ ὄνομα κύριον. Regg. 4 4.

γίνεται ἐπὶ τοῦ τελειοῦται, διὰ τοῦ ι, ἐπὶ δὲ τοῦ γεννᾶται διὰ διφθόγγου.

τὰ δὲ γινόμενα κατὰ τρεῖς τρόπȣς γίνεται, κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν.

γινώσκω, αἰτιατικῇ, γνωρίζω· "ἤδη γάρ σε γινώσκω, καὶ ὧν εἶπας ἀκούσασα καὶ τὴν ὄψιν ἰδοῦσα."

Γίσχαλα ὄνομα τόπου.

Γιώρας ὄνομα κύριον.

γλάγος (Hom. *B* 471) γάλα. καὶ γλαγερῶν ἀντὶ τοῦ λευκῶν· ἐν ἐπιγράμμασι (AP 6 109) "ἄρκυν τε γλαγερῶν λαιμοπέδαν γεράνων."

a γλάμων ὁ λημῶν τοὺς ὀφθαλμοὺς καὶ διύγρους αὐτοὺς ἔχων, ὡς Χάρων. sch. A Ran. 595.

b γλάμων ὁ ἀκάθαρτος. καὶ Σοφοκλῆς ἐπὶ ὀρνέου "τοὺς γλαμυροὺς κατὰ φορβάν." Ἀριϛοφάνης Βατράχοις (595) "Ἀρχέδημος ὁ γλάμων."

γλάνις εἶδος ἰχθύος. καὶ χρησμολόγος, Βάκιδος ἀδελφός. sch. A Eq. 1000.

γλαῦκα εἰς Ἀθήνας, ἐπὶ τῶν ἀχρήϛȣς ἐμπορίας ἀγόντων, ἐπειδὴ τὸ ζῷον τȣ̃το σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις. καὶ γλαύκειον ᾠόν.

γλαυκός λευκός, κυάνεος. Γλαῦκος δὲ ὄνομα κύριον, γένος Καρύϛιος, πύκτης κε' ὀλυμπιάδι στεφανωθείς, καὶ Πύθια τρίς, Ἴσθμια δεκάκις, γενναῖος ὅλῳ τῷ σώματι.

Γλαῦκος Καρύϛιος. τούτου γῆν ἐργαζομένȣ ἐπειδὴ συνέβη τὴν ὕνιν ἐκ τȣ̃ ἀρότρȣ πεσεῖν, καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας. ἰδὼν δὲ τὸ ποιηθὲν ὁ πατὴρ ἤγαγεν αὐτὸν εἰς Ὀλυμπίαν πυκτεύσοντα. ὃ δὲ ἅτε ȣ̓κ ἐμπείρως ἔχων ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιϛῶν, καὶ ἀπαγορεύειν ἔμελλεν ὑπὸ τῶν πληγῶν. φασὶ δὲ τὸν πατέρα βοῆσαι "παῖ τὴν ἐπ' ἀρότρῳ." ὃ δὲ βιαιότερον ἐπενεγκὼν πρὸς τὸν ἀνταγωνιζόμενον εἶχε τὴν νίκην. σκιαμαχοῦντος δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν ἐπιτηδειότατος χειρονομεῖν. Pausan. 6 10.

γλαῦξ ἵπταται. ἡ πτῆσις τῆς γλαυκὸς εἰς νίκης σύμβολον ἐλογίζετο. καὶ ἑτέρα παροιμία "γλαῦκες Λαυριωτικαί," ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων, παρ' ὅσον ἐν Λαυρίῳ τῆς Ἀττικῆς γίνονται χρύσεια μέταλλα, ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. καὶ ἑτέρα παροιμία "Γλαύκȣ τέχνη," ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρȣ κόλλησιν ἐξεῦρεν. λέγεται δὲ ἡ γλαῦξ χαλκίς. sch. A Eq. 1091.

γλαφυρόν ἡδύ, κοῖλον, βαθύ, σοφόν, ἔμπειρον, ἀκριβές, λαμπρόν.

γλεῦκος τὸ ἀποϛάλαγμα τῆς ϛαφυλῆς, πρὶν πατηθῇ. καὶ ἡ τραγῳδία φησὶ περὶ Αἴαντος (966) "ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς."

γλήνεα (Hom. *Ω* 192) ἀξιοθέατα.

γλήνη κόρη ὀφθαλμοῦ, ἢ ὅρη, παρὰ τὸ ὁρᾶν. γλίνη δὲ ὁ ῥύπος, διὰ τοῦ ι.

γληχώ θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον. οἱ δὲ βληχώ φασι. λέγεται δὲ καὶ γλήχων γλήχωνος. Γλίχων δὲ ὄνομα κύριον, διὰ τοῦ ι.

γλισχραντιλογεξεπιτρίπτου. ἐκ τȣ̃ γλίσχρου καὶ ἀντιλογιῶν ἔχοντος καὶ ἐπιτρίπτȣ σύγκειται, οἷον τοῦ δυναμένȣ ἐπιτρῖψαι. Ἀριϛοφάνης Νεφέλαις (1004) "οὐδ' ἐλ-

κόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου."

*γλίσχρον* τὸ λαίμαργον καὶ ἡδύ, ἢ κολλῶδες. καὶ *γλίσχρος* φειδωλός, σκνιφός, πάνυ ῥυπαρός. "ἀλλ' ἐγώ τις ἄρα δυσαπάλλακτος ἦν ἀπὸ τῶν τοιούτων, καὶ γλίσχρως ἔτι εἰχόμην τῆς αὐτῆς ἀληθείας, ἅτε ὡς ἀληθῶς ὄναρ πλουτήσας." "κατέβη ἐκ χωρίων γλίσχρων καὶ μηδ' ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων," τουτέςι τροφῆς σπανιζόντων.

ὅτι τὸ γλίσχρον ἐπὶ δυςυχίᾳ ἔλεγον οἱ Ἀττικοί. Ἀριςοφάνης Εἰρήνῃ (192) "ὦ γλίσχρων, ὁρᾷς ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος," ἀντὶ τοῦ ὦ ἐπιθυμητά, παρὰ τὸ γλίχεσθαι. πρὸς Ἑρμῆν ὁ λόγος. καὶ αὖθις Ἀριςοφάνης Εἰρήνῃ (485) "ἕλκουσιν δ' ὅμως γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια." καὶ Ἀρριανός "τὰ ἐπιτήδεια γλίσχρως τῇ ςρατιᾷ ἐπορίζοντο" ἀντὶ τοῦ φειδομένως.

*γλίσχρος* ταπεινός, κόλαξ· "γενοῦ γλίσχρος, προσαιτῶν λιπαρῶν τ' Εὐριπίδην" (A Ach. 427). καὶ *γλίσχρων* ὁ ἐπιθυμητής, παρὰ τὸ γλίχεσθαι. καὶ *γλίσχρως* ὀλισθηρῶς.

*γλίχεται* λίαν ἔχεται, ἐπιθυμεῖ. καὶ *γλιχόμενος* ἐπιθυμῶν. κατ' αἰτιατικὴν δέ· "καὶ ταῦτα ἦν ἃ ἐγλίχετο."

*γλοιός*. τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένȣς διολισθάνειν πέφυκε. τοιȣ̃τος οὖν καὶ οὗτος εὔχεται γενέσθαι τȣ̀ς τρόπȣς, ἵν' ὥσπερ διολισθάνειν καὶ φεύγειν δύνηται τοὺς δανειςάς. καὶ μέχρι δεῦρο δὲ τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν ςαθερὸν φρονοῦντας, καὶ ἄλλα μὲν ἐπαγγελλομένȣς ἄλλα δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιςον γλοιοὺς καλȣ̃μεν. ἄλλως. ἐπὶ τοῦ μιαροῦ καὶ ῥυπαρȣ̃ καὶ μικρολόγου παραλαμβάνεται· καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πώς ἐςι τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ ἢ ὀλισθηρὸν καὶ εὐμετάβολον. sch. A Nub. 448.

*γλοιώδης* ὁ ῥυπαρός.

*γλουτόν* τὸ σφαίρωμα τῆς κοτύλης.

*γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος*", ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

*Γλυκέρα* ἑταίρα τις.

*γλυκίδιον* τὸ γλυκύ. καὶ *γλύκιον* τὸ γλυκύτερον.

*γλυκυδερκής* ἡδὺς ἐν τῷ ὁρᾶν.

*γλυκύθυμος* ἁπαλόψυχος.

*γλυκὺ μέλι καὶ πνιξάτω*. Τερπάνδρου ᾄδοντος καὶ κεχηνότος πρὸς τὴν ᾠδήν, ἐμβαλών τις εἰς τὸν φάρυγγα σῦκον ἀπέπνιξε. cf. AP 9 488.

*γλυκὺς ἀγκών*. οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν "ὦ γλυκέα ἤθη." ἔςι δὲ παροιμία, ὡς ἐπιφωνούμενον. οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι· γέρων δ' αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος· "ὦ χρυσοῦν ἀνάδημα, ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις, ὦ γλυκὺς ἀγκών." ὡς εἴ τις λέγοι ὦ γλυκὺς πῆχυς.

*γλυκὺς ἀπείρῳ πόλεμος*, ἐπὶ τῶν ὑπὸ ἀπειρίας πρὸς τὰ ἐπικίνδυνα προθυμȣμένων.

*γλυπτόν* παρὰ τῷ Δαβὶδ τὸ εἴδωλον.

*γλυφεῖον* ἐκ τοῦ γλύφω.

*γλυφίδας* τὰς χηλὰς τῆς ἀκίδος, αἷς τὴν νευρὰν προσάγομεν, παρὰ τὸ ἐγγεγλύφθαι, ὅ ἐςι κεκοιλάνθαι.

*Γλώνυς* ὄνομα κύριον.

*γλωσσαλγίαν* (Eurip. Med. 525) ἀργολογίαν.

*γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν.* νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς γλῶσσαν οὐχὶ τἄργ' εἰς πάνθ' ἡγουμένην" (S Philoct. 96). οὕτω γραπτέον· "ἐσθλȣ̃ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ γλῶσσαν μὲν ἀργόν" καὶ τὰ ἑξῆς.

*γλῶσσα ποῖ πορεύῃ;* πόλιν ἀνορθώσȣσα καὶ πόλιν καταςρέψȣσα; ἡ παροιμία ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.

*γλώσσαργον ἦθος* ἀντὶ τοῦ ταχὺ καὶ ςωμύλον.

*γλῶσσα ταμιείου*, ἣν ἔσχε Κυρῖνος ὁ σοφιςὴς ἐκ βασιλέως (Philostrat. V. S. 2 29). "ὁ δὲ Φῆςος ὁ ἀνθύπατος πέμπεται ἐς Ἀσίαν, ὃς τὴν βασιλικὴν γλῶσσαν ἐπεπίςευτο." ἤκμαζε περὶ τȣ̀ς χρόνȣς Οὐάλεντος. cf. v. Φῆςος.

*γλωσσηματικά* εἶδος διαλέκτου.

*γλώσσῃ σὺ δεινός*. ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ δίκαιον, ὅςις ἐξ ἅπαντος εὖ λέγει" (S OC 806), οἷον βουλόμενος ἐκ παντὸς δοκεῖν δίκαια λέγειν.

*γλωσσόκομον* θήκη λειψάνων ξυλίνη (Eunap. p. 110 Nieb.).

γλῶττα. ὅτι αυτη ὑπὸ μὲν τῶν πλειόνων χυμῶν ὑγραίνεται, ὑπ᾽ ἐνίων δὲ καὶ ξηροτέρα γίνεται, ὡς ὑπὸ πεπέρεως καὶ ταρίχου καὶ μυρίων ἄλλων καίτοι γευϛῶν ὄντων ξηραίνεται, οὐχ ὡς ἐγχύμων, ἀλλὰ διά τινα ἀπτὴν ποιότητα, οἷον ξηρότητα ἢ θερμότητα. οὐδὲ γὰρ ὁ ξηρὸς ἄρτος ξηραίνει, ἢ εἰ τύχοι τρωγάλια καὶ τὰ ὅμοια· ἀλλὰ τῷ ξηρὰ εἶναι ἢ θερμὰ ἐξικμάζει τὴν ἐν τῇ γλώττῃ ὑγρότητα. Philopon. in 2 de anima, *M* 7.

σημεῖον δὲ τοῦ δεῖν τὴν γλῶτταν δυνάμει μὲν ὑγρὰν εἶναι ἐνεργείᾳ δὲ ἔ· ὅσοι τὴν γλῶτταν ἀμέτρως ἢ ξηρὰν ἔχουσιν ἢ ὑγράν, οὗτοι οὐκ ἀντιλαμβάνονται τῶν γευϛῶν. καὶ διὰ τοῦτο οὐκ ἀντιλαμβάνεται ἡ λίαν ὑγρὰ γλῶττα τῶν χυμῶν, διότι ἡ ἐν αὐτῇ ὑγρότης ἔγχυμος οὖσα, καὶ πρώτη αὐτῇ προσβάλλουσα, γίνεται γλώττης ἀφή, αὐτὴ ἑαυτῆς ἀντίληψιν παρέχουσα, καὶ ταύτῃ οὐκ ἐῶσα ἀντιλαβέσθαι τῆς ἔξωθεν. σημεῖον δὲ τούτου, ὅτι οἱ προγευσάμενοι ἄλλου χυμοῦ, καὶ μάλιϛα σφοδροτέρου, οὐκέτι τῶν δευτέρων ὁμοίως αἰσθάνονται.

ὅτι τὴν γλῶτταν ἐποίησεν ἡ φύσις πρὸς δύο ἔργα, ὧν τὸ μὲν εἰς τὸ εἶναι συμβάλλεται τοῖς ἔχουσιν, ὅπερ ἐϛὶν ἡ γεῦσις καὶ κρίσις ἡ περὶ τοὺς χυμούς, τὸ δὲ εἰς τὸ εὖ εἶναι, οἷον πρὸς τὴ: διάλεκτον. οὕτω καὶ ἐπὶ τῆς ἀναπνοῆς δύο ἐποίησεν ἔργα, τὸ μὲν πρῶτον πρὸς τὸ εἶναι (πρὸς γὰρ τὴν τȣ̃ ἐντὸς θερμοῦ κατάψυξιν συμβάλλεται, ὅπερ ἐϛὶν ἀναγκαῖον ἔργον τῆς φύσεως; καὶ διαμονῆς αἴτιον), τὸ δὲ λοιπὸν πρὸς τὸ εὖ εἶναι, οἷον διάλεκτον. τῆς δὲ φωνῆς ὕλη ὁ ἐκπνεόμενος ἀήρ, ποιητικὸν δὲ αἴτιον φύσις, ὀργανικὸν δὲ τραχεῖα ἀρτηρία· οἷον γὰρ αὐλός ἐϛιν. ἀμέλει οἱ μὲν νέοι εὐφωνότεροί εἰσιν ὡς λείαν ἔχοντες αὐτήν, οἱ δὲ γέροντες κακοφωνότεροι ὡς τραχυτέραν αὐτὴν ἔχοντες. τελικὸν δὲ ἡ σημασία· τέλος γὰρ τῷ ζῴῳ τῆς φωνῆς τὸ σημαίνειν δι᾽ αὐτῆς τὰς τῆς ψυχῆς διαθέσεις. τῆς διαλέκτου ὕλη μὲν ἡ φωνή, ποιητικὸν δὲ αἴτιον ἡ λογικὴ ψυχή, ὀργανικὸν δὲ γλῶττα καὶ ὑπερῷα καὶ ὀδόντες, τελικὸν δὲ ἡ σημασία τῶν νοημάτων. ὄργανον δὲ τῆς φωνῆς ὁ φάρυγξ. idem *M* 1.

ὅτι τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τὴν γλῶτταν καὶ τὴν τῶν γενύων διάθεσιν ταῖς τῶν ἀνθρώπων, δύναται μιμεῖσθαι διάλεκτον, οἷον κίτται καὶ ψιττακοὶ καὶ τὰ ὅμοια. id. *M*.

γλώττῃ πολεμίζων (A Nub. 418) οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος.

γλωττοϛροφεῖν τὴν γλῶτταν ϛρέφειν καὶ ποικίλον ἐν τῷ λέγειν καθεϛηκέναι· ἢ ἐκϛρέφειν τὰ πράγματα καὶ εὐπορεῖν ἐν τῷ λέγειν. Ἀριϛοφάνης Νεφέλαις (791) "ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοϛροφεῖν."

γλωχῖνας γωνίας· (Agath. 5 22) "ὑπὸ τὴν ἔνδον παρατεινομένην τῆς θαλάσσης γλωχῖνα ὡς εἰς ἐνέδραν καθορμίσας τὰς ἐπακτρίδας ἐνέκρυψε." (AP 6 334) "καὶ σὺ τετράγλωχιν μηλοσσόε, Μαιάδος Ἑρμᾶ, ὅς τε τὸν αἰγιβόταν, Πάν, κατέχεις σκόπελον."

Γνάθαινα ὄνομα κύριον, καὶ Γναθαίνιον.

γνάθους· (A Vesp. 940) "ἀλλ᾽ ἐκεῖνό μοι δοκεῖ πεπονθέναι ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης· ἀπόπληκτος ἐγένετο τὰς γνάθους."

Γναθωνίδης πατρωνυμικόν.

γναμπτή ἡ καμπτή.

γνάφαλοι· "ἔδοξέ τις ἐν τῇ τύλῃ πυροὺς ἔχειν ἀντὶ γναφάλων," πτίλων τῶν ὑπὸ γνάθοις κειμένων (Artemid. 5 8).

γναφεύς κοινῶς διὰ τοῦ γ, ἀττικῶς δὲ διὰ τοῦ κ. κνάφος δέ ἐϛιν ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια, παρὰ τὸ κνῶ, ὃ ἔστι ξύω. sch. A Plut. 166.

γνόντες γνωρίσαντες.

γνόφος σκότος βαθύ.

γνύξ ἐπὶ γόνατα.

γνῶθι σαυτόν, ἀπόφθεγμα Χίλωνος. a
τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων.

γνῶθι σαυτόν, καὶ "τὸ νόμισμα παρα- b
χάραξον," παραγγέλματα Πυθικά. τουτέϛι τῆς τῶν πολλῶν δόξης ὑπερόρα, καὶ παραχάραττε μὴ τὴν ἀλήθειαν ἀλλὰ τὸ νόμισμα.

γνῶμα. "ὀλίγον ἐξωτέρω τῆς ϛρατηγίδος σκηνῆς χωρίον τι ὥσπερ ἀγορὰ ἀπεδέδεικτο, ὃ δὴ γνῶμα προσηγορεύετο. ἐκεῖσε δὲ αἱ πρεσβεῖαι καὶ αἱ ἀγγελίαι καὶ ὅλα ἐγίνοντο."

γνωματεύων διακρίνων, διαγινώσκων ἀκριβῶς. ἢ γνωματεύω τὸ βουλεύομαι· "ἕτερα διαλεγόμενοι ἕτερα γνωματεύουσι." Menand. Exc. leg. p. 285.

γνώμη ἡ συνείδησις. a

b *γνώμη* σκέψις, ποιά τις διάθεσις. καὶ γνώμων ὁ συνετός. λέγεται δὲ καὶ γνώμων κανόνιόν τι μηχανικόν, καὶ δὴ καί τι σχῆμα γεωμετρικόν, καὶ διοπτρικοῦ ὀργάνου μέρος, καὶ δὴ καὶ ἀστρονομικοῦ. ἀλλὰ καὶ τὸ ἐν τοῖς γνωμονικοῖς ὀργάνοις μάλιστα λαμβανόμενον.

c *γνώμη* ἡ βουλὴ καὶ ἡ προαίρεσις· "ὅτῳ θεία μὲν ἡ γνώμη περιόντι, εἰς θεοὺς δὲ ἡ μεταχώρησις" Ἀρριανός. γνώμη καὶ τὸ σκέμμα· Ἀριστοφάνης Νεφέλαις ⟨170⟩ "πρῴην δέ γε γνώμην μεγάλην ἀφῃρέθη ὑπ᾿ ἀσκαλαβώτου." καὶ τὴν δημηγορίαν ὁ αὐτός ⟨431⟩· "ἀπὸ τουδὶ ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει πλείονας ἢ σύ."

d *γνώμη*. παρὰ Σοφοκλεῖ ἐν Αἴαντι μαστιγοφόρῳ ⟨52⟩ "γνώμας βαλοῦσα τῆς ἀνηκέστου χαρᾶς ἐπ᾿ ὄμμασι." χαράν φησι τὴν ἐπὶ τῷ δοκεῖν τοὺς Ἕλληνας ἀνῃρῆσθαι. ταύτης οὖν τῆς χαρᾶς ἀπεῖρξα, δυσφόρους γνώμας ἐμβαλοῦσα τοῖς ὄμμασιν. οὐκ ἔκλεψά φησι τὴν ὄψιν ὥστε μὴ ὁρᾶν, ἀλλ᾿ ἐπ᾿ αὐτῇ δύσφορον γνώμην ἐπέβαλον ὡς οἴεσθαι ἰδεῖν τὰ μὴ ὄντα· τοῦτο δὲ οὐ τῶν ὀφθαλμῶν ἁμάρτημα, ἀλλὰ πολὺ πρότερον τῆς διανοίας.

*γνώμην ἐμήν* ⟨A Eccl. 349⟩ ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν.

*γνώμην ἐμοί* ⟨an ἐμήν⟩ ὡς ἐμοὶ δοκεῖ.

*γνωμίδιον* τὸ μικρὸν ἐνθύμημα.

*γνωμοδοτῶ* γνώμην δίδωμι

*γνώμονα* ἔλεγον τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ, δι᾿ οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον. cf. v. ἀβολήτωρ.

*γνωμοτυπικῶς* γνωμολογικῶς.

*γνώμων* τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον· ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων. Diog. L. 2 1.

a *γνωρίζω* δοτικῇ. αἰτιατικῇ δέ "ἵνα μή τι ἄλλο ἢ ἐξ ὧν εὐεργετεῖ γνωρίσῃς θεόν."

b *γνωρίζω* γινώσκω, ἱστορῶ. "εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγούμενος" ⟨Plato RP 8 p. 564: cf. v. ταὐτὸν πέπονθα⟩.

*γνώριμοι* φοιτηταί· "Πυθαγόρας ὁ Σάμιος γνωρίμους ἔσχε πλεῖον ἢ ἑξακοσίους."

*γνωριμώτερον*. τοῦτο διχῶς λέγεται, ἢ ἁπλῶς, οἷον τὸ πρότερον τοῦ ὑστέρου, ἢ ἡμῖν ὃ ἐστι τῇ φύσει ἔσχατον, τουτέστι τὸ σύνθετον.

*γνωσιμαχῆσαι* μετανοῆσαι, μεταγνῶναι τὸ δίκαιον καὶ πρέπον. ἢ τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν καὶ τῶν ἐναντίων τὴν ἰσχύν. "οὐκοῦν οἱ πλεῖστοι ἐγνωσιμάχουν καὶ μετεβάλλοντο" ⟨cf. v. ἀναφρονήσαντες⟩. Ἀρριανός "εἴ πῃ Χοσρόης γνωσιμαχήσας ὑποδύσεται τοῖς ἐκ Ῥωμαίων ξὺν δίκῃ ἀξιουμένοις." cf. v. ἀπείρατον.

*γνῶσις*. ὅτι πάντων ἡ γνῶσις ἢ ὁμοιότητί τινι καὶ ταυτότητι γίνεται, ἢ ἀνομοιότητι καὶ ἑτερότητι. τὸ γὰρ λευκὸν καὶ τῇ τοῦ λευκοῦ παραθέσει γνωρίζομεν, διότι ὅμοιον, καὶ τῇ τοῦ μέλανος· τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν. καὶ τήν γε φύσιν τοῦ ταυτοῦ καὶ τοῦ ἑτέρου ἐν τῇ συστάσει ταύτης μεμῖχθαι φασί. a

*γνῶσις* ἀντὶ τοῦ κρίσις, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ⟨α 28⟩. b

*γνῶσις*. Ἀρριανὸς ἐν Παρθικοῖς "περὶ Παρθαμασίρου δὲ οὐχὶ Ἀξιδάρου εἶναι ἀλλὰ τὴν ἑαυτοῦ γνῶσιν, ὅτι πρῶτος παραβαίνων τὰ ξυγκείμενα ἔτυχε τῆς δίκης" ἀντὶ τοῦ τὴν αἰτίαν, τὴν ἀφορμήν. cf. Fronto p. 248. c

*γνωστοί* φίλοι.

*γνωτός* ἀδελφός, καὶ *γνωτή* ἀδελφή. Σοφοκλῆς Οἰδίποδι "γνωτὰ κοὐκ ἄγνωτά μοι προσήλθεθ᾿ ἱμείροντες. εὖ γὰρ οἶδ᾿ ὅτι νοσεῖτε πάντες· καὶ νοσοῦντες ὡς ἐγὼ οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ. τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἓν᾿ ἔρχεται μόνον καθ᾿ αὑτόν, κοὐδέν᾿ ἄλλον· ἡ δ᾿ ἐμὴ ψυχὴ πόλιν τε κἀμὲ καὶ σ᾿ ὁμοῦ στένει." καὶ ἐν ἐπιγράμματι ⟨AP 6 12⟩ "γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης δέξνυσο Πάν."

*γογγύλον* στρογγύλον. καὶ *γογγυλίζει* ἀντὶ τοῦ μεταστρέφει. Ἀριστοφάνης ⟨Pac. 28⟩ "ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην." αἱ γὰρ γυναῖκες ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι, ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογγύλας ποιοῦσαι τὰς μάζας.

*Γοδολίας* ὄνομα κύριον. καὶ μήν.

*γοερόν* θρηνῶδες, λυπηρόν, κατανυκτικόν. καὶ "γοεροῖο γόοιο."

*γόης* γόητος κόλαξ, περίεργος, πλάνος, ἀπατεών.

*γοητεία* μαγεία. a

*γοητεία* μαγεία καὶ φαρμακεία διαφέρει· ἅπερ ἐφεῦρον Μῆδοι καὶ Πέρσαι. μαγεία μὲν οὖν ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ τινὸς σύστασιν, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θε- b

σπίσματα, γοητεία δὲ ἐπὶ τῷ ἀνάγειν νεκρὸν δι' ἐπικλήσεως· ὅθεν εἴρηται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων· φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον δοθῇ τινὶ διὰ στόματος. μαγεία δὲ καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο· οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται, καὶ Μαγουσαῖοι οἱ αὐτοί. καὶ γοητεύω αἰτιατικῇ.

Γολγοθά τόπος.

Γολιάθης. οὗτος Παλαιστῖνος ἦν ἀνὴρ παμμεγεθέστατος, πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ὅπλα τῇ φύσει τοῦ σώματος ἀναλογοῦντα περικείμενος. Ioseph. A. I. 6 9.

Γολόη ὄνομα τόπου.

γομόρ εἶδος μέτρου Ἑβραϊκοῦ.

Γόμορα τόπος τῶν Σοδόμων.

γομφιασμός ὁ συγκλασμός.

γομφίας ὀδόντας, κλειδώσεις. καὶ γομφιόδουπα χαλινά, ἐν ἐπιγράμματι ⟨AP 6 233⟩, τὰ εἰς τοὺς γομφίους κτυποῦντα, τουτέστι τὰς σιαγόνας.

a γομφίας τοὺς προσθίους ὀδόντας· ⟨Babr. 92 8⟩ "ὃ δ' ὠχριήσας γομφίους τε συγκρούσας μή μοι χαρίζου φησί."

b γόμφοι μύλοι, σφῆνες, δεσμά, ἄρθρα, σύνδεσμοι ὀδόντων.

γομφοπαγῆ ῥήματα ἀντὶ τοῦ ἀκριβέστατα, πολυσύνθετα. περὶ Αἰσχύλου Ἀριστοφάνης ⟨Ran. 843⟩.

γονεία ἡ γέννησις.

γονεῦσιν ἀπειθεῖς τοὺς καὶ μέχρι γονέων ἀγνώμονας παρὰ τῷ ἀποστόλῳ ⟨ad Rom. 1 30⟩.

γονορρυής ὁ νοσῶν. cf. Herodian. Epimer. p. 16.

γόνυ γόνυος.

γονυκλινής ἐπὶ γόνυ πεσών· "τήν τε γυναῖκα τοῦ βαρβάρου γονυκλινὴς ὢν ἐθεράπευσεν."

γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων. ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν τοῖς προσήκουσιν, ἐπεὶ ἐγγύτερον τὸ γόνυ.

γονυπετῆσαι προσκυνῆσαι.

γονύων γονάτων. Ξενοφῶν ⟨Anab. 4 5 26⟩ "ἐνῆσαν δὲ καὶ κάλαμοι γόνατα οὐκ ἔχοντες".

γόον θρῆνον.

Γόρβορα τόπος τις.

γόργεια παρὰ Δωριεῦσι τὰ τῶν ὑποκριτῶν προσωπεῖα, τῶν ἀπὸ τῆς σκηνῆς τραγῳδῶν.

Γοργίας Χαρμαντίδου Λεοντῖνος ῥήτωρ, μαθητὴς Ἐμπεδοκλέους, διδάσκαλος Πώλου Ἀκραγαντίνου καὶ Περικλέους καὶ Ἰσοκράτους καὶ Ἀλκιδάμαντος τοῦ Ἐλαΐτου, ὃς αὐτοῦ καὶ τὴν σχολὴν διεδέξατο· ἀδελφὸς δὲ ἦν τοῦ ἰατροῦ Ἡροδίκου. Πορφύριος δὲ αὐτὸν ἐπὶ τῆς π' ὀλυμπιάδος τίθησιν· ἀλλὰ χρὴ νοεῖν πρεσβύτερον αὐτὸν εἶναι. οὗτος πρῶτος τῷ ῥητορικῷ εἴδει τῆς παιδείας δύναμίν τε φραστικὴν καὶ τέχνην ἔδωκε, τροπαῖς τε καὶ μεταφοραῖς καὶ ἀλληγορίαις καὶ ὑπαλλαγαῖς καὶ καταχρήσεσι καὶ ὑπερβάσεσι καὶ ἀναδιπλώσεσι καὶ ἐπαναλήψεσι καὶ ἀποστροφαῖς καὶ παρισώσεσιν ἐχρήσατο. ἔπραττε δὲ τῶν μαθητῶν ἕκαστον μνᾶς ρ'. ἐβίω δὲ ἔτη ρθ', καὶ συνεγράψατο πολλά.

γοργολόφα ⟨A Eq. 1178⟩ ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα, ἡ Ἀθηνᾶ.

γοργόνειον ἀντὶ τοῦ προσωπεῖον. καὶ Γοργόνη ἡ Γοργώ.

Γοργόνες τρεῖς γυναῖκες, αἳ τοσοῦτον εἶχον φοβερὰ τὰ πρόσωπα ὡς τοὺς ὁρῶντας θνήσκειν· ὧν μίαν ἀνελεῖν λογχοδρεπάνῳ τὸν Περσέα. Nonn. in Greg. Naz. 1 76 p. 153.

Γοργόνες Τιθράσιαι ⟨A Ran. 480⟩. Τίθρασος ποταμὸς ἢ τόπος Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον. ἢ ἀπὸ δήμου τῆς Ἀττικῆς κακοπράγμονος. cf. v. Τίθρασος.

Γοργόνη. Ἀριστοφάνης ⟨Ach. 1180⟩ "καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος," ὡς εἰ ἔλεγεν, οἴδημα ἐποίησεν ἐπὶ τῆς κεφαλῆς, παρ' ὑπόνοιαν· θέλων γὰρ εἰπεῖν, καὶ ἀπὸ τῆς πληγῆς κορδύλην ἐποίησεν, ἔφη Γοργόνα ἐξήγειρε. καὶ σκώπτων ὁ αὐτὸς Μόρσιμον καὶ Μελάνθιον φησὶ ⟨Pac. 810⟩ Γοργόνες, ἀντὶ τοῦ φοβεροὶ εἰς γαστριμαργίαν. καὶ Αἰλιανός "καὶ ἐνέκειντο αὐτῷ τὴν ἐξ αὐτοῦ προφέροντες καὶ προσείοντες ὡς εἰπεῖν Γοργόνα, καὶ κατεσίγασαν τὴν ἄλλως πρόλαλον ὄντα καὶ ἰταμόν." λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθηναίου, ὃς νόμον εἰσάγει, τὸν ἀπὸ τοῦ ἄστεος ἐν Πειραιεῖ μείναντα, τοῦτον τεθνάναι. οὗτος δὲ ὠψίσθη ποτὲ ἄκων καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ, καὶ αὐτὸν οἱ ἐχθροὶ εἰς δίκην ὑπάγουσι. διὰ τοῦτο λέγει προσείοντες Γοργόνα.

*γοργόνωτον* ⟨A Ach. 1123⟩ περιφραστικῶς τὴν ἀσπίδα τὴν ἔχουσαν Γοργόνα.

*γοργός* ἀντὶ τῦ φοβερός· "Ἀμάχιος ἐπὶ Ἰουλιανοῦ ἤκμαζεν, ἄρχων μικρᾶς πόλεως, Ἕλλην γοργός." cf. v. Ἀμάχιος.

*Γόργος* ὁ Μεσήνιος οὐδενὸς ἦν δεύτερος Μεσηνίων πλούτῳ καὶ γένει, διὰ δὲ τὴν ἄθλησιν κατὰ τὴν ἀκμὴν πάντων ἐνδοξότατος ἐγεγόνει τῶν περὶ τοὺς γυμνικοὺς ἀγῶνας φιλοςεφανέντων· καὶ γὰρ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν τοῦ λοιποῦ βίου προςασίαν, ἔτι δὲ κατὰ τὸ πλῆθος τῶν ςεφάνων, οὐδενὸς ἐλείπετο τῶν καθ' αὑτόν. καὶ μὴν ὅτε καταλύσας τὴν ἄθλησιν ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὸ πράττειν τὰ τῆς πατρίδος ὥρμησε, καὶ περὶ τῦτο τὸ μέρος ὀκ ἐλάττω δόξαν ἐφέρετο τῆς πρότερον ὑπαρχούσης αὐτῷ, πλεῖςον μὲν ἀπέχειν δοκῶν τῆς τοῖς ἀθληταῖς παρεπομένης ἀναγωγίας, πρακτικώτατος δὲ καὶ νουνεχέςατος εἶναι νομιζόμενος περὶ τὴν πολιτείαν. Polyb. 7 10 2.

*γόργυρα* τὸ κατὰ γῆς ὄρυγμα. οὕτως Δείναρχος καὶ Ἡρόδοτος καὶ ἄλλοι. Harp.

*γοργύρη* δεσμωτήριον ὑπόγειον. Herodot. 3 145.

*γοργῶπις* ⟨S Ai. 450⟩ γοργόφθαλμος.

*γοργωπὸν ἕδραν* ⟨Eur. Rhes. 8⟩ φοβερὰν καθέδραν.

*Γορδίειον* πόλις. καὶ *Γορδιηνός* ὄνομα κύριον.

*γορπιαῖος* μὴν ὁ σεπτέμβριος κατὰ Μακεδόνας.

*Γορτύνη* πόλις, καὶ *Γορτύνιος* ἀπὸ τόπου.

*Γόρτυς* ὄνομα νήσου.

*Γοτθοί.*

*γουνάσομαι* λιτανεύσω, παρακαλέσω· ⟨AP 5 2⟩ "οὐκέτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ κλαύσομαι."

*γόνδας* τὸ παρ' ἡμῖν λεγόμενον γονδίον.

*γραῖα* ἡ παλαιά.

*Γραικοί* οἱ Ἕλληνες, ἀπὸ κώμης τινός, ἢ ἀπὸ Γραικοῦ τινός. ἐκ τῦ Γραὶξ Γραικός.

*γραιοσόβαι* ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραΐσι συγκοιμώμενοι· σοβάδες γὰρ αἱ πόρναι. sch. A Pac. 812.

*γραιούδια* οἱ παρ' ἡμῖν ἑφθοὶ ὄμφακες.

*γράμματα.* ὅτι τὰ γράμματα Φοίνικες ἐφεῦρον πρῶτοι, ἔνθεν καὶ Φοινίκεια ἐκλήθησαν· καὶ τὸν Κάδμον φασὶ πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι. ἰατρικὴν δὲ ὁ Ἆπις ὁ Αἰγύπτιος· ὁ δὲ Ἀσκληπιὸς ηὔξησε τὴν τέχνην. cf. v. Ἆπις.

*γραμματείδιον* καὶ *γραμματεῖον* τὸ συμβόλαιον, *γραμμάτιον* δὲ τὸ μικρὸν γράμμα. "ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον καὶ γραμματεῖα βασιλικά, τὴν τῶν πατρικίων τιμὴν δωρούμενα."

*γραμματείου* διδασκαλείου· "ἅτε προηγμένος ἀνελπίςως ἐκ τοῦ γραμματείου καὶ τῆς τοιαύτης διαθέσεως, πολὺς ἐπέπνει."

*γραμματεύς.* οὗτος πράξεως μὲν οὐδε- a
μιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ
καὶ τῷ δήμῳ τὰ πραττόμενα. ὁ δ' *ἀντι-
γραφεὺς* καὶ οὗτος ἀπὸ τοῦ γράφειν τὰ
παρὰ τῇ βουλῇ ὠνόμαςαι.

*γραμματεὺς ὁ νοτάριος.* τὸν τῶν ἀπορ- b
ρήτων γραμματέα ἀσηκρῆτις καλοῦσι τὸ
ἀξίωμα Ῥωμαῖοι ⟨cf. Procop. Pers. 2 7⟩. κλη-
ρωτοὶ δὲ ἦσαν, τὸν ἀριθμὸν τρεῖς, γράφον-
τες τὰ δημόσια. οὐδενὸς δὲ ἦσαν οἱ γραμ-
ματεῖς οὗτοι κύριοι ἀλλ' ἢ τοῦ γράφειν καὶ
ἀναγνῶναι.

*γραμματίας* ἐξαριθμήσεις. Δαβὶδ ⟨Ps. 70 16⟩ "ὅτι οὐκ ἔγνων γραμματίας· ὅμως εἰσελεύσομαι ἐν δυναςείᾳ κυρίου."

*γραμματιςής* ὁ τὰ πρῶτα ςοιχεῖα διδάσκων. γραμματικὴ δέ ἐςιν ἐπιςήμη τοῦ ἀναγινώσκειν καὶ γράφειν. ⟨Procop. Pers. 2 6⟩ "ὃ δὲ ἐς γραμματιςοῦ ἐφοίτησε παρὰ Ἀντιοχεῦσιν." καὶ αὖθις ⟨Io. Antioch. p. 841⟩ "οὐδὲ τὰ πρῶτα παρὰ τοῖς γραμματιςαῖς ἐκμεμαθηκὼς ςοιχεῖα." καὶ αὖθις ⟨Procop. Pers. 1 24⟩ "οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιςοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακῶς, γράψαι."

*γραμματοκύφων* ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ· κυρίως γὰρ κύφων τὸ ξύλον καλεῖται. Δημοσθένης ⟨18 209⟩ καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην καὶ γραμματοκύφωνα, ὃν καὶ υἱὸν εἶναί φησιν ὄνομα μὲν Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

*γραμμή.* γραμμή ἐςιν ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, τὸ μῆκος μόνον ἔχον ⟨Diog. L. 7 135⟩. καὶ ἡ ἀρχή, ἡ ἀφετηρία, ἡ βαλβίς· Ἀριςοφάνης ⟨Ach. 483⟩ "γραμμὴ δ' αὑτηί" ἀντὶ τοῦ ἀρχή, ἀφετηρία, ἡ λεγομένη βαλβίς, ἐκ μεταφορᾶς τῶν δρομέων. "πρόβαινε νῦν ὦ θυμέ· γραμμὴ δ' αὑτηί."

γραός.

γράσος ἡ δυσοσμία τῶν τράγων. καὶ γράσων ἄνθρωπος ὁ δύσοσμος· (M. Anton. 5 28) "τῷ γράσωνι μὴ ὀργίζου."

Γρατιανός. οὗτος ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελευτήν, αὐτίκα πρὸς τὴν ἑώαν Ῥώμην διέθει, καὶ καταγνοὺς τῆς τοῦ θείου Οὐάλεντος περὶ τοὺς χριςιανοὺς ὠμότητος τοὺς μὲν ὑπ' ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, ὁσίας τε αὐτοῖς ἀπο διδοὺς καὶ θεραπεύων τὰς βλάβας, πᾶσί τε νόμον παρεῖχεν ἀδεῶς καὶ ἀδηρίτως ἐν ταῖς ἰδίαις ἐκκλησίαις συνάγεσθαι, μόνυς δὲ τῶν εὐκτηρίων εἴργεσθαι Εὐνομιανοὺς Φωτεινιανοὺς Μανιχαίους. Io. Antioch. p. 846.

ὅτι ἐν τῷ περιπάτῳ ἔφιπποι ςῆλαι ἵςαντο Γρατιανῦ καὶ Οὐαλεντινιανῦ καὶ Θεοδοσίυ, καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

γραῦς καὶ ἡ ἄνθρωπος, καὶ ὁ ἀνώτατος ἀφρὸς ἐν τῷ ὑπερζεῖν τὰ ὄσπρια γινόμενος· Ἀριςοφάνης Πλούτῳ (1205) "πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία αὗται ποιοῦσι." ποιητικῶς δὲ γρῆυς λέγεται· "ἡ γρῆυς ἡ χερνῆτις, ἡ γυρὴ πόδας, πύςιν κάτ' ἐσθλὴν ὕδατος παιωνίυ ἦλθέν ποθ' ἑρπύζυσα σὺν δρυὸς ξύλῳ" (AP 6 203).

γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον ἕξεις," ἐπὶ τῶν ἀξίως τὰ ἔσχατα πασχόντων, παρ' ὅσον οἱ γεγηρακότες ἵπποι εἰς τὰς χαράδρας κρημνίζονται καὶ ἐμβάλλονται.

γραῦς σέριφος ἡ ἐν παρθενίᾳ γεγηρακυῖα, ἀπὸ μεταφορᾶς τῆς ἀρυραίας ἀκρίδος, ἣν καλοῦσι γραῦν σερίφην καὶ μάντιν.

γραῦς χορεύει, ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων· ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν. καὶ γραῶν ὕθλοι· ἡ παροιμία ἐπὶ τῶν μάτην ληρούντων.

γραφάς δικαςήρια, κατηγορίας.

γραφείδιον καὶ γραφεῖον.

γράφειν ἐς τάχος. οὕτω λέγεται κατὰ διαςολήν· Προκόπιος "τὴν ἐς τάχος γράφυσαν μοῖραν." cf. v. ἀρχεῖα.

γράφεται ἀντὶ τῦ γράφει ἢ κατηγορεῖ.

γραφεύς ὁ ζωγράφος. "ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθυς" (A Eccl. 1031)· τοιαῦτα γὰρ ἐν τοῖς μνήμασιν ἔγραφον. καὶ Δημοσθένης (25 52) γράφειν τὸ ζωγραφεῖν.

a γραφή ζωγραφία, κατηγορία. καὶ ἡ ἐπὶ γράμματος· "ἀπορῶ, γράφω" (A Ach. 31). γράφω μὲν ἀντὶ τῦ καταγράφω ἢ ζωγραφῶ ἐπὶ τῆς γῆς, ξύω τῷ δακτύλῳ καί τινι τοιύτῳ παιδιάς τινας. cf. v. ἀπορῶ.

b γραφή ἡ περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορία καὶ περὶ ἄλλων ἁμαρτημάτων. γίνονται δὲ γραφαὶ καὶ νόμων καὶ ψηφισμάτων ὡς ἐπιτηδείων εἰσκομίζεσθαι δοκύντων· αἵτινες γραφαὶ παρανόμων καλοῦνται.

c γραφή δημοσίυ τινὸς ἐγκλήματος ὄνομα. οὐ μόνον δὲ ὅταν ψηφίσματος ἢ νόμου κατηγορῇ τις, παρανόμων γραφὴν ἀποφέρεσθαι καὶ γράφεσθαι λέγεται, ἀλλὰ καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασι. πολλὴ δὲ ἡ χρῆσις τοῖς ῥήτορσιν. Harp.

γραφὴ καὶ ἐγκλήματα κατηγορία καὶ ἐγκλήματα.

γραφή τε καὶ Λευκαῖος ἓ ταὐτόν, ἐπὶ τῶν ἀνόμοια γραφόντων.

γράφω τὸ ἐπιςέλλω, δοτικῇ. ἰςέον ὅτι τὸ γράφω πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὴν σύνταξιν. καὶ εἰ μὲν γράφω σοι ἐςί, δοκεῖ σημαίνειν τὸ ἐπιςέλλω σοι· εἰ δὲ γράφω σε, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ, ὡς τὸ "οἱ τὰς μορφὰς γράφοντες καὶ τὰ γράμματα." εἰ δὲ γράφομαί σε, σημαίνει τὸ κατὰ σοῦ ἐγγραφὰς ποιῶ, εἰς δικαςήρια ἐκτίθεμαι, ὡς τὸ "γράφομαί σε φόνων καὶ παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος."

γράψαι κοιλᾶναι, διασκάψαι.

γράψομαι κατηγορήσω· Ἀριστοφάνης (Pac. 106) "γράψομαι Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα."

a Γρηγόριος ἀδελφὸς Ἑρμείου τοῦ φιλοσόφου, ὃς ἅπαν τοὐναντίον ἦν τῷ Ἑρμείᾳ, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπί τε τὰς ζητήσεις καὶ τὰς μαθήσεις, ἄλλως δὲ οὐχ ἡσύχιος οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ παρακεκινηκώς. ἐπεὶ δὲ Ἀθήνηθεν ἧκον εἰς Ἀλεξάνδρειαν, ὕςερον ὁ Γρηγόριος ἑάλω τῇ νόσῳ ἐπὶ τὸ πλέον, ὥςε δύσχρηςον αὐτῦ καὶ πολλαχῇ παραλλάττον γενέσθαι τὸ ὄργανον. ὅτω φησὶ Δαμάσκιος εἰς τὴν φιλόσοφον ἱςορίαν. Phot. p. 341 a.

b Γρηγόριος ὁ καὶ Θεόδωρος, ὁ θαυματουργός, Νεοκαισαρείας τῆς ἐν τῷ Πόντῳ ἐπίσκοπος, νέος κομιδῇ διὰ τὴν παίδευσιν Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν γραμμάτων ἀπὸ τῆς Καππαδοκίας εἰς Βηρυτὸν κἀκεῖθεν εἰς Καισάρειαν τὴν τῆς Παλαιςίνης διέβη, ἅμα Ἀθηνοδώρῳ ἀδελφῷ· οὓς καὶ κατὰ μέρος

εἰς τὴν τοῦ Χριςοῦ πίςιν εἰσάγων Ὠριγένης ζηλωτὰς ἰδίους κατέςησεν. ἐπὶ πέντε τοίνυν παρ᾿ αὐτοῦ παιδευθέντες ἐνιαυτὸς πρὸς τὴν πατρίδα ἀποπέμπονται· ἀφ᾿ οὗ ὁ Γρηγόριος ἀποδημῶν πανηγυρικὸν εὐχαριςίας τῷ Ὠριγένει ἔγραψε λόγον, καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίϐς, αὐτοῦ τε τοῦ Ὠριγένϐς παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὅςις ἄχρι τοῦ παρόντος ὑπάρχει. ἔγραψε δὲ καὶ μετάφρασιν εἰς τὸν ἐκκλησιαςήν, ἐλάχιςον μὲν πάνυ δὲ θαυμαςὸν λόγον. καὶ ἄλλας δὲ πολλὰς καὶ ποικίλας ἐπιςολὰς καὶ λόγϐς συνεγράψατο, ποιήσας τε σημεῖα καὶ θαύματα ὑπὲρ ἄνθρωπον, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν, ἐτελεύτησεν ἐπ᾿ Αὐρηλιανοῦ. **Sophronius.**

c  *Γ ρ η γ ό ρ ι ο ς* Ναζιανζοῦ ἐπίσκοπος (ςαθμὸς δέ ἐςιν οὗτος Καππαδοκίας), ἀνὴρ ἐλλογιμώτατος, ἀναγκαῖος δὲ φίλος Βασιλείου τοῦ τῆς Καισαρείας ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ. οὗτος οὐ μόνον γραμματικὸς καὶ τὰ ἐς τὴν ποίησιν δεξιός, ἀλλὰ πολλῷ πλεῖον καὶ εἰς φιλοσοφίαν ἐξήσκητο καὶ ῥήτωρ ἦν ἀμφιδέξιος. οὗτος ἔγραψε καταλογάδην πολλά· εἰς γὰρ τρεῖς μυριάδας ςίχων τὰ συντάγματα αὐτοῦ συνέθηκεν· ἀφ᾿ ὧν εἰσὶ τάδε, περὶ τῆς τελευτῆς τοῦ ἀδελφοῦ Καισαρίου, ἐπιτάφιος εἰς τὸν ἑαυτοῦ πατέρα, ἕτερος εἰς τὴν ἀδελφὴν Γοργονίαν, περὶ φιλοπτωχίας, ἐπαίνους τῶν Μακκαβαίων, ἐπαίνους Κυπριανοῦ, ἐπαίνους Ἀθανασίϐ, ἐπαίνϐς Ἥρωνος φιλοσόφϐ, κατὰ Ἰϐλιανοῦ τοῦ βασιλέως λόγοι β′, κατὰ Εὐνομίου λόγοι β′, περὶ θεολογίας α′, περὶ υἱοῦ λόγοι β′, περὶ τϐ ἁγίου πνεύματος λόγος α′, πανηγυρικοὶ λόγοι ι′, καὶ ἕτεροι πλεῖςοι καὶ πᾶσι γνώριμοι. ἠκολούθησε δὲ τῷ Πολέμωνος χαρακτῆρι τϐ Λαοδικέως τοῦ σοφιςεύσαντος ἐν Σμύρνῃ, ὃς ἐγεγόνει διδάσκαλος Ἀριςείδου τοῦ ῥήτορος. ἐγράφη δὲ αὐτῷ καὶ ἑτέρα βίβλος δι᾿ ἐξαμέτρων, παρθενίας καὶ γάμου καθ᾿ ἑαυτοὺς διαλεγομένων, καὶ εἰς ἑτέρας ὑποθέσεις ἐν παντοίοις καὶ διαφόροις μέτροις, ἅτινα συνάγονται εἰς ἐπῶν μυριάδας τρεῖς. τοῦ δὲ Γρηγορίϐ τούτου καὶ Φιλοςόργιος ὁ Ἀρειανὸς ἐν τῇ κατ᾿ αὐτὸν ἱςορίᾳ μνήμην πεποίηται, καί φησι ··· Φιλοςόργιος, καὶ ταῦτα Ἀρειανὸς ὢν ἔγραψεν ⟨cf. v. Ἀπολινάριος⟩. ἔτι γοῦν περιὼν εἰς τὸν οἰκεῖον τόπον ὁ Γρηγόριος ἐπίσκοπον καταςήσας ἐν τῇ λαχούσῃ αὐτὸν ἐκκλησίᾳ, αὐτὸς ἐν ἀγρῷ τινὶ βίον μοναδικὸν ἀπηνέγκατο. ἐλάσας δὲ περὶ τὰ ϛ ἔτη καὶ ἐπέκεινα, Θεοδοσίου τρίτον καὶ δέκατον ἔτος ἄγοντος καταλύει τὸν βίον, ἀνάξιον τοῦτο τῆς αὐτοῦ παθὼν ἀρετῆς, τὸ τῆς καθέδρας ἀποκρουσθῆναι τῆς βασιλευούσης τῶν πόλεων, καὶ προκριθῆναι μᾶλλον τοὺς φαυλοτέρϐς ἢ τὸν ἐπ᾿ ἀρετῇ καὶ λαμπρότητι βίϐ πάντων μᾶλλον ὑπερανέχοντα.

*Γ ρ η γ ό ρ ι ο ς* Νύσσης ἐπίσκοπος, ἀδελφὸς d Βασιλείου τοῦ Καισαρέως, ἀνὴρ καὶ αὐτὸς ἐλλογιμώτατος καὶ πάσης ὑπάρχων παιδείας ἀνάπλεως, προσκείμενος δὲ μᾶλλον τοῖς τῇ ῥητορικῇ χαίρουσι· καὶ γοῦν εὐδόκιμος ἐν ταύτῃ γεγένηται καὶ λαμπρός, εἴ τις ἄλλος τῶν πάλαι ταύτῃ γεγενημένων. οὗτος συνέταξε κατ᾿ Εὐνομίϐ λόγον ἐξαίρετον, καὶ τεῦχος θαυμάσιον εἰς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἄλλας τε πυκνὰς καὶ συνεχεῖς ὁμιλίας, εἴς τε τὰ ᾄσματα τῶν ᾀσμάτων καὶ εἰς τὸν ἐκκλησιαςήν, καὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν μακρόν τινα καὶ περικαλλῆ περὶ ψυχῆς συνέθηκε λόγον. ἄλλα τε πολλὰ γεγραφήκει, καὶ τὸν πολυθαύμαςον ἔπαινον τϐ πρώτου τῶν μαρτύρων Στεφάνου. καὶ βίον δὲ συνέταξε Γρηγορίου τϐ ἐν θαύμασι διαλάμψαντος.

*Γ ρ ή ν ι κ ο ς* ποταμός.

*γ ρ ῆ υ ς  ἀ ν α κ ρ ο τ έ ο υ σ α* πολὺν κονιορτὸν ἐγείρει", ἐπὶ τῶν δι᾿ ἐμπειρίαν πολλὰ πράγματα κινούντων.

*Γ ρ ί ο ς* ὄνομα κύριον.

*γ ρ ι π ε ύ ς* ἰχθύων θηρευτής· ⟨AP 6 28⟩ "γριπεύς, Ἐριούνιε, σοὶ τάδε δῶρα φέρει." καὶ *γ ρ ι π η ὶ ς  τ έ χ ν η*· ⟨AP 6 223⟩ "Ἑρμῶναξ δ᾿ ἐκίχανεν, ὅτε γριπηίδι τέχνῃ εἷλκε τὸν ἐκ πελάγευς ἰχθυόεντα βόλον."

*γ ρ ῖ φ ο ς* τὸ δίκτυον. λέγεται δὲ καὶ ὁ e δύσκολος καὶ συμπεπλεγμένος λόγος, ὁ ἔχων πάθος ἐν ἑαυτῷ μὴ φαινόμενον.

*γ ρ ῖ φ ο ς* ὁ ἀσαφὴς λόγος· ⟨AP 7 1⟩ "Ἰῷ ἐνὶ παῖδες Ὅμηρον ἤκαχον, ἐκ μουσῶν γρῖφον ὑφηνάμενοι." καὶ *γ ρ ι φ ώ δ η ς  λ ό γ ο ς*.

*γ ρ ο μ φ ὶ ς* ὗς ἡ παλαιὰ σκρόφα.

*γ ρ ύ* βραχύ. ἔνιοι δὲ τὸν ἀπὸ τῶν ὀνύχων ῥύπον. Ἀριςοφάνης Πλούτῳ (17) "καὶ ταῦτ᾿ ἀποκρινομένϐ τὸ παράπαν οὐδὲ γρύ." τινὲς παρὰ τὸν γρυλισμόν, τουτέςι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος. ἢ τὸ τυχόν, τὸ μικρότατον. ὅθεν καὶ γρύτη καὶ γρυτοπώλης· ὅπερ ἐκ εἴρηται, ἀλλὰ ῥω-

ποπώλης. καὶ παροιμία "τὸ Δίωνος γρύ" ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος. cf. v. τὸ Δίωνος γρύ.

γρύζω θρηνῶ.

γρυκτόν ⟨A Lys. 657⟩ "ἆρα γρυκτόν ἐϛιν ὑμῖν;" τουτέϛιν ἆρα ,ζύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν;

Γρύλλος. Ξενοφῶντος τοῦ Σωκρατικοῦ υἱοὶ Γρύλλος καὶ Διόδωρος. καὶ γρύλλος ὁ χοῖρος.

γρυμαία ἡ σκευοθήκη.

γρύξαι φθέγξασθαι, κράξαι.

γρυπάνιον. γρυπαίνειν τὸ γρυποῦσθαι λέγουσιν, οἷον ἐπὶ τῶν ἁπαλῶν ξυληφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. Ἀντιφῶν δέ φησιν ἐν ἀληθείας δευτέρῳ "καίων γὰρ τὴν γῆν καὶ συντήκων γρυπάνιον ποιεῖ." καὶ Μελάνθιος "σεισμὸς" φησὶ "γέγονε, καὶ ἔγρυπεν ἡ γῆ." Harp.

Γρῦπος. τῶν ἐπὶ μαλακίᾳ διαβαλλομένων οὗτος ἦν. οἱ δὲ Γρύττον λέγουσι, διὰ τοῦ τ· ὃς ἦν καταπύγων. Ἀριϛοφάνης ⟨Eq. 884⟩ "ἔπαυσα τοὺς βινουμένους, τὸν Γρῦπον ἐξαλείψας."

γρυπός ὁ καμπυλόρριν.

γρώνη πέτρα.

γύαλον τὸ κοῖλον.

Γύγης Λυδός. "ἐσέβαλε μέν νυν ϛρατιὴν καὶ οὗτος, ἐπείτε ἦρξεν, ἔς τε Μίλητον καὶ Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄϛυ εἷλεν· ἀλλ' οὐδὲν μέγα ἀπ' αὐτοῦ ἄλλο ἔργον ἐγένετο, βασιλεύσαντος δυοῖν δέοντα μ' ἔτεα. τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες, Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος Πριηνέας τε εἷλεν εἰς Μιλητόν τε ἐσέβαλεν. ἐπὶ τούτου τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναϛάντες ἀπίκοντο ἐς τὴν Ἀσίην, καὶ Σάρδεις πλὴν τῆς ἀκροπόλεως εἷλον. Ἄρδυος δὲ βασιλεύσαντος ἑνὸς δέοντα ν' ἔτεα ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσεν ἔτη ιβ'. Σαδυάττεω δὲ Ἀλυάττης. ὗτος δὲ Κυαξάρῃ τε τῷ Δηιόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν ἐξεῖλεν. εἰς Κλαζομενάς τε ἐσέβαλεν. ἀπὸ μέν νυν τούτων οὐχ ὡς ἤθελεν ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως· ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε. ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον ἀπὸ τῶ πατρός. ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἁδρός, τηνικαῦτα ἐσέβαλλε τὴν ϛρατιήν. ἐϛρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλῶ γυναικηίου τε καὶ ἀνδρηίου. ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν ἀγρῶν οὐ κατέβαλλεν οὔτε ἐνεπίμπρη, οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑϛάναι· ὃ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειεν, ἀπαλλάσσετο ὀπίσω. τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεστάτεον, ὥϛε ἐπέδρης μὴ εἶναι τὸ ἔργον τῇ ϛρατιῇ. τὰς δὲ οἰκίας οὐ κατέβαλλεν ὁ Λυδὸς τῶνδε εἵνεκα, ὅκως ἐντεῦθεν ὁρμώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι ἔχοιεν οἱ Μιλήσιοι, αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων. ταῦτα ποιέων ἐπολέμεεν ἔτεα ια', ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἔν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ." Herodot. 1 14.

Γύγου δακτύλιος, ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων. Γύγης γὰρ βουκόλος ὤν, τῆς γῆς ὑπὸ σεισμοῦ ῥαγείσης, νεκρὸν εὑρὼν φοροῦντα δακτύλιον τοῦτον περιεῖλεν. ὃ δὲ εἶχε φύσιν ὥϛε κατὰ τὰς ϛροφὰς τῆς σφενδόνης ὁρᾶσθαι καὶ μή. δι' αὐτοῦ κτείνας τὸν πρὸ αὐτοῦ ἐβασίλευσεν.

γύης μέρος ἀρότρου. καὶ παροιμία "γύης οὐκ ἔνεϛ' αὐτῷ" ἐπὶ τῶν ἔν τινι ἀχρήϛων, ἐκ μεταφορᾶς τοῦ ἀρότρου.

γυῖα μέλη, ἢ πόδες τοῦ σώματος. ⟨AP 6 71⟩ "γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων, μέμφεται ἀϛρέπτει κάλλεϊ θηλυτέρης."

γυλιαύχενας ⟨A Pac. 788⟩ τοὺς μακροτραχήλους.

γύλιος πλέγμα ϛρατιωτικὸν σκευοφόρον, ἐπίμηκες, εἰς ὀξὺ λῆγον πρὸς τὸ μὴ κατάγνυσθαι, ἐν ᾧ κατετίθεντο τυρὸν καὶ ἐλαίας καὶ κρόμμυα. ἡ λεγομένη ϛρατιωτικὴ ὀψοθήκη. ἔϛι δὲ καὶ ζῷον ὁ καλούμενος χοιρογρύλλιος. λέγεται δὲ καὶ ὁ Ἡρακλῆς Γύλιος. καὶ γύλιον ἀγγεῖον πλεκτόν.

Γύλιππος ὄνομα κύριον.

Γύλων. οὗτος αἰτίαν ἔχων ἐπὶ τῇ τοῦ Νυμφαίου τοῦ ἐν Πόντῳ χωρίου προδοσίᾳ ἔφυγεν, ἐλθὼν δὲ εἰς Σκυθίαν ἔγημε, δύο δὲ ἔχων θυγατέρας ἔπεμψεν εἰς τὴν πατρίδα,

ὧν τὴν μὲν μίαν ἔγημε Φιλοχάρης τὴν δὲ ἑτέραν Κλεόβουλος ⟨an Κλεοβούλην Δημοσθένης⟩.

γυμνασία ἡ τριβή.

ὅτι ἡ διαλεκτικὴ πρὸς τρία ἐςὶ χρήσιμος, πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιςήμας. γυμνασίαν δὲ λέγει ἤτοι τὴν γινομένην ἐν τῷ διαλέγεσθαι πρός τινας· δεχόμενοι γάρ τινα προβλήματα παρὰ τῶν προσδιαλεγομένων πειρῶνται τούτοις συμπαρίςασθαι, δι' ἐνδόξων τὰς ἐπιχειρήσεις ποιούμενοι. ἢ γυμνασίαν λέγοι ἂν τὴν εἰς ἑκάτερον μέρος ἐπιχείρησιν. ἦν δὲ σύνηθες τὸ τοιοῦτον εἶδος τῶν λόγων τοῖς ἀρχαίοις, καὶ τὰς συνουσίας τὰς πλείςας τοῦτον ἐποιοῦντο τὸν τρόπον, οὐκ ἐπὶ βιβλίων ὥσπερ νῦν (ὁ γὰρ ἦν τότε τοιαῦτα βιβλία), ἀλλὰ θέσεώς τινος τεθείσης εἰς ταύτην γυμνάζοντες αὐτῶν τὸ πρὸς τὰς ἐπιχειρήσεις εὑρετικὸν ἐπεχείρουν, κατασκευάζοντες καὶ ἀνασκευάζοντες δι' ἐνδόξων τὸ κείμενον. καὶ ἔςι βιβλία τοιαῦτα Ἀριςοτέλει τε καὶ Θεοφράςῳ γεγραμμένα, ἔχοντα τὴν εἰς τὰ ἀντικείμενα δι' ἐνδόξων ἐπιχείρησιν. πρὸς δὴ τὴν τοιαύτην γυμνασίαν χρήσιμον εἶναί φησι τὴν διαλεκτικήν· μέθοδον γάρ τινα εὑρετικὴν τῶν ἐπιχειρημάτων ἔχοντες (αὕτη δέ ἐςιν ἡ τῶν τόπων γνῶσις) ῥᾶον ἐπιχειρεῖν δυνησόμεθα. ὡς γὰρ ἐν τοῖς ῥητορικοῖς γυμνάσμασιν οἱ διαιρεῖν δυνάμενοι τὰ προβλήματα καὶ τὴν τάξιν τῶν κεφαλαίων συνορῶντες ῥᾶον ἐπιχειροῦσιν, οὕτω καὶ ἐν τοῖς διαλεκτικοῖς οἱ τὴν μέθοδον εἰδότες ῥᾶον ἐπιχειρημάτων εὐπορᾶσι πρὸς τὰ προκείμενα. χρήσιμος δὲ ἡ τοιαύτη γυμνασία, ἡ κατὰ τοὺς λόγους, πρὸς εὕρεσιν τῶν ζητουμένων τε καὶ ἀληθῶν· προπαρασκευάζει γὰρ τὴν ψυχὴν πρὸς φιλοσοφίαν. ὡς γὰρ τὰ τᾶ σώματος γυμνάσια γινόμενα κατὰ τέχνην εὐεξίαν περιποιεῖ τῷ σώματι, οὕτω καὶ τὰ τῆς ψυχῆς ἐν λόγοις γυμνάσια, κατὰ μέθοδον γινόμενα, τὴν οἰκείαν εὐεξίαν τῆς ψυχῆς περιποιεῖ. οἰκεία δὲ εὐεξία ψυχῆς λογικῆς ἡ δύναμις καθ' ἣν εὑρετική τε τοῦ ἀληθοῦς καὶ κριτικὴ γίνεται. δεύτερον τρόπον τῆς ὠφελείας ἐκτίθεται πρὸς τὰς ἐντεύξεις· καὶ ἔςιν ἐν τῷ ε ςοιχείῳ περὶ ἐντεύξεως. Alex. Aphrod. in Aristot. Top. p. 16.

γυμνάσια ἀλειπτήρια, ἢ βαλανεῖα, ἢ λουτρά. τρία γυμνάσια τῆς Ἀττικῆς, Ἀκαδήμεια Λύκειον Κυνόσαργες.

Γυμνάσιος Σιδώνιος σοφιςής, ἐπὶ τῶν Κωνςαντίνου τοῦ βασιλέως χρόνων, ἔγραψε μελέτας, καὶ εἰς Δημοσθένην ὑπόμνημα, καὶ ἄλλα τινά.

γυμνῆται. ἡ εὐθεῖα ὁ γυμνήτης, καὶ οἱ γυμνῆται. τάξις πεζῶν· Ξενοφῶν ⟨Anab. 4 1 6⟩ "ὁ δὲ Χειρίσοφος ἡγεῖτο τᾶ ςρατεύματος, λαβὼν τὸ ἀμφ' αὐτόν, τοὺς γυμνῆτας ἅπαντας· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι." καὶ γυμνήτης ὁ γεγυμνωμένος· ⟨AP 7 65⟩ "ὅς ποτε θυμῷ ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον." λέγεται καὶ γυμνῆτος ὁπλίτου· καὶ αὖθις "εἵποντο δὲ καὶ γυμνῆτες ἐς ὑ ἀποκεκριμένοι, ὡς ὁδοποιεῖν τὰ ἄβατα."

γυμνητεύω γυμνὸς διατελῶ.

γυμνικοὶ ἀγῶνες· "ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὢν γυμνικοὺς ἀγῶνας ἦγε," τουτέςιν ὅσους γυμνούς. cf. v. ἦγεν.

Γύμνις ⟨an Ὕμνις⟩ ὄνομα κύριον. καὶ κλίνεται Γύμνιδος.

γυμνοπαιδία ἡ παλαίςρα, ᾗ τὰς ἐφήβους Λυκοῦργος ἠνάγκαζε... ⟨cf. v. Λυκᾶργος⟩. καὶ γυμνοπαιδία χοροὶ ἐκ παίδων ἐν Σπάρτῃ τῆς Λακωνικῆς εἰς θεοὺς ὕμνας ᾄδοντες, εἰς τιμὴν τῶν ἐν Θυρέαις ἀποθανόντων Σπαρτιατῶν. καὶ Ἰώσηπος ⟨B. I. 6 7 2⟩ "τόπος δ' ἐπὶ τῆς πόλεως οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ πᾶς λιμοῦ νεκρὸν εἶχεν ἢ ςάσεως."

γυμνοπόδης ὁ ἀνυπόδητος, καὶ γυμνοποδῶ γυμνὸς βαίνω.

γυμνορρύπαροι οἱ σοφιςαί· "ἦσαν δὲ περὶ αὐτὸν γυμνορρύπαροί τινες" ⟨Diog. L. 7 16⟩.

γυμνοσοφιςαὶ παρὰ Βαβυλωνίοις οἱ φιλόσοφοι, καὶ παρὰ Ἀσσυρίοις.

γυμνότερος ἰαλέμου. ὁ ἰάλεμος ἐπίρρημα θρήνου· τάσσεται δὲ ἐπὶ τῶν οἰκτρῶν. καὶ γυμνότερος ὑπέρα καὶ λεβηρίδος, Ἀριςοφάνης δὲ τυφλότερος· ἔςι δὲ τὸ σῦφαρ καὶ ἔκδυμα τᾶ ὄφεως καὶ τᾶ τέττιγος, παρὰ τὴν λεπίδα, κυρίως δέ, ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός. ἔςι δὲ τοῦτο καὶ τυφλόν· τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, τυφλότερος, κενώτερος, καὶ γυμνότερος.

γυμνότερος παττάλου, ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.

γυμνῷ φυλακὴν ἐπιτάττεις, ἐπὶ τῶν ἀδυνάτως ἐχόντων τὰ προςεταγμένα πληρᾶν διὰ τὰ ἀναγκαῖα.

ὅτι τὸ γυμνῶ μετὰ γενικῆς. μετὰ αἰτιατικῆς δέ, ὡς τὸ "γυμνώσαντες αὐτὸν ἐξήγαγον ἔξω" καὶ "γυμνῶν τὰ ἐσφραγισμένα."

γυναικεία φύσις. γυναικίας δὲ ἀνὴρ ὁ θηλυμανής, διὰ τοῦ ι. καὶ γυναικιζόμενος ὁ θηλυνόμενος.

γυναίκισις ἡ γυναικεία μίμησις· ⟨A Thesm. 870⟩ "πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην."

γυναικοϊέρακες οἱ περὶ ἔρωτας ἐπτοημένοι· "δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας εὑρίσκειν ἐς ὕγραν τῶν θηλειῶν." cf. v. Λογγῖνος.

γυναικὸς ἄρ' ἀντετέτυξο ἀντὶ τοῦ ἴσος γυναικὶ κατεσκευάσθης, παρ' Ὁμήρῳ ⟨Θ 163⟩.

γυναικὸς ὄλεθρος ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων, παρ' ὅσον πολλοὶ δεινῶς ὑπὸ γυναικῶν ἀπώλοντο. καὶ γυναικὸς πυγή ἐπὶ τῶν ἀργῶν, ἢ ὅτι χρὴ τὰς γυναῖκας οἴκοι μένειν.

γυναικωνῖτις οἰκία τῶν γυναικῶν· "γυναικωνῖτιν φάλαγγα τῶν εὐνούχων Οὐάλεντος." cf. v. θλαδίας.

γυναιμανής ἐπὶ γυναιξὶ μαινόμενος, ὁ ἀκόλαςος.

γύνανδρος κίναιδος· "ὁ γύνανδρός τε καὶ μάλθων τύραννος" ἀντὶ τοῦ ἔκλυτος.

γυνὴ εἰς Ἡρακλέως οὐ φοιτᾷ, πρὸς τοὺς ἀναξίως τῶν πράξεων, παρ' ὅσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ. καὶ γυνὴ ςρατηγεῖ, ἐπὶ τοῦ παραδόξου.

γύννις ἀνδρόγυνος, μαλακός· ⟨A Thesm. 143⟩ "ποδαπὸς ὁ γύννις; τίς πάτρα;" "κακὴν σοφίαν μετιών, καὶ τοὺς ἀθέους Ἐπικούρου λόγους καὶ γύννιδας ἐπασκῶν, κἀκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις." cf. vv. δᾳδουχήσας et χλοῦναι.

γυπαρίοις ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ ςενοῖς χωρίοις. Κράτης δέ φησιν ὅτι πᾶσαν ςενὴν κατάδυσιν γῦπας ὠνόμαζον. Ἀριςοφάνης ⟨Eq. 790⟩ "οἰκοῦντα τοῦτον ἐν πιθάκναις καὶ γυπαρίοις καὶ πυργιδίοις." καὶ γυπαιετούς.

γυπὸς σκιά, ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

γύργαθος. καὶ παροιμία "γύργαθον φυσᾷς" ἐπὶ τῶν μάτην πονούντων. γύργαθος οὖν κλίνη ἐν ᾗ τοὺς παρέτυς καὶ δαιμονιώδεις ςροβοῦσι.

γυρίης περιφεροῦς· "ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦλθον γυρίης." καὶ Ὅμηρος ⟨τ 246⟩ "γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος" περὶ Ὀδυσσέως.

γυρόν κυρτόν, ςρογγύλον· ἐν ἐπιγράμματι ⟨AP 6 64⟩ "γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς."

γυρῶν περιφερῶν, κεκαμμένων· ἐν ἐπιγράμματι ⟨AP 6 5⟩ "γυρῶν τ' ἀγκίςρων λαιμοδακεῖς ἀκίδας."

γυῶ, ἐξ οὗ καὶ τὸ ⟨Hom. Θ 402⟩ "γυώσει μὲν σφῶιν."

Γώβαρις ὄνομα κύριον.

Γωβρύας ὄνομα κύριον.

γωνία ἡ τοῦ οἴκου. καὶ γωνιασμός· Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ ἔςι γνήσιος, "κάμψαντί" φησι "τȣ̃ τείχȣς, ὦ βȣλή, ἔςι γωνιασμὸς ἐν ἀριςερᾷ καὶ εὐρυχωρία πάνυ πολύς." καὶ γωνιασμούς ἀποφυγάς, ἀπαγωγάς· Ἀριςοφάνης ⟨Ran. 985⟩ "ἔδειξα τȣτȣσὶ λεπτῶν κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμούς." Harp.

γωνίᾳ ἀπορθῶσαι τὸ ἐν γωνίᾳ ὑπό τινος περανθῆναι.

γώνυμος ⟨an ἐπώνυμος⟩ ὁ φερώνυμος.

γωρυτός θήκη τόξων. ⟨Ioseph. B.I. 3 5 5⟩ "καὶ κατὰ γωρυτοῦ παρηρτημένοι τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμάς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος." καὶ αὖθις "καὶ γωρυτοὺς πλήρεις ὀιςῶν."

Δάα.

Δάβαινα ὄνομα τόπου. καὶ ὁ Δαβαινίτης.

Δαβίδ προφήτης, προπάτωρ τοῦ κυρίȣ καὶ θεοῦ ἡμῶν· ὃς μετὰ τὸ βασιλεῦσαι ἐπορεύετο μεγαλυνόμενος, καὶ κύριος παντοκράτωρ ἦν μετ' αὐτȣ̃. εἶχε δὲ δυνατȣ̀ς ἄνδρας λζ', ὥςε τὸν μικρὸν αὐτῶν ποιεῖν πρὸς ρ', τὸν δὲ μέγαν πρὸς χιλίους ἄνδρας. δυνατοὶ δὲ καὶ ἀκαταγώνιςοι ἦσαν πρὸς τοὺς ἐναντίους, θυρεοὺς αἴροντες καὶ δόρατα μέγιςα, κοῦφοι τοῖς ποσὶν ὡς δορκάδες ἐπὶ τῶν ὀρέων τρέχοντες. ἡ κατασκευὴ αὐτῶν ἔκπληκτος, τὰ πρόσωπα αὐτῶν ὡς λεόντων. τοὺς δὲ πολεμιςὰς οὓς εἶχε Δαβὶδ μετ' αὐτοῦ, μυριάδες τλβ', καθὼς ἠριθμήθη ὑπὸ Ἰωὰβ τοῦ ἀρχιςρατήγȣ αὐτοῦ. καὶ τοῦτο πονηρὸν ἐφάνη ἔναντι κυρίου, καὶ ἀπέςειλε κύριος Γὰδ τὸν προφήτην πρὸς Δαβίδ, καὶ εἶπε "τάδε λέγει κύριος ὁ θεός· ἔκλεξαι σεαυτῷ